اورتودوقسیا

آخلاقی و دینی رساله

مدیر مسئول: ملەتیوس لوقاکیس　　　محل اداره: فنار روم پطریقخانه سی

Ἔτος Β΄　　31 Μαρτίου 1928　　Τεῦχος 24ον

ΟΡΘΟΔΟΞΙΑ

ΠΕΡΙΟΔΙΚΟΝ ΗΘΙΚΟΘΡΗΣΚΕΥΤΙΚΟΝ

ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΙ ΥΠΕΥΘΥΝΟΣ
† Ο ΧΡΙΣΤΟΥΠΟΛΕΩΣ ΜΕΛΕΤΙΟΣ

ΑΡΧΙΣΥΝΤΑΚΤΗΣ
ΒΑΣΙΛΕΙΟΣ ΑΝΤΩΝΙΑΔΗΣ
Καθηγητὴς Ἱ. Θεολογ. Σχολῆς Χάλκης

ΕΝΙΑΥΣΙΟΣ ΣΤΑΘΜΟΣ

Λήγοντος διὰ τοῦ παρόντος τεύχους τοῦ δευτέρου ἔτους τῆς ἐκδόσεως αὐτῆς, ἡ «***Ὀρθοδοξία***» εἰσέρχεται ἀπὸ τοῦ προσεχοῦς, σὺν Θεῷ βοηθοῦντι, εἰς τὸ τρίτον.

Εἰς τὸν ἐπίσημον τοῦτον σταθμὸν τῆς σταδιοδρομίας αὐτῆς εὑρισκομένη, καθῆκον αὐτῆς θεωρεῖ ἐκ τῶν πρωτίστων, ὅπως ὑποβάλῃ τὴν ἔκφρασιν τῆς βαθείας αὐτῆς εὐγνωμοσύνης πρὸς τὴν Σεβαστὴν καὶ πεφωτισμένην Δημοκρατικὴν Κυβέρνησιν τῆς κοινῆς ἡμῶν Πατρίδος διὰ τὴν ἀπὸ μέρους Αὐτῆς ἐπιδαψιλευθεῖσαν καὶ κατὰ τὸ λῆξαν ἐκδοτικὸν ἔτος ὑψηλὴν εὐμένειαν.

Θερμὰς ὡσαύτως ἐκφράζει εὐχαριστίας πρὸς πάντας ὅσοι διὰ τῆς εὐγενοῦς αὐτῶν συνεργασίας ἐν τῇ συντάξει ὑπεβοήθησαν τὸ ἔργον αὐτῆς καὶ πρὸς πάντας ἐν γένει τοὺς ὑλικῶς ἢ ἠθικῶς συντελέσαντας εἰς εὐόδωσιν τοῦ ἱεροῦ αὐτῆς σκοποῦ.

Ἀνασκοποῦσα δὲ ἡ «***Ὀρθοδοξία***» τὴν δευτέραν αὐτῆς

ἐτησίαν σταδιοδρομίαν δὲν ἀξιοῖ μὲν ὅτι τὸ ἐπιτελεσθὲν μέχρι τοῦδε ἔργον ἀνταποκρίνεται καθ᾽ ὅλην τὴν γραμμὴν πρὸς τὸ ἀρχικῶς τεθὲν πρόγραμμα ἐργασίας, ἔχει ὅμως τὸ εὐάρεστον συναίσθημα, ὅτι οὐδεμιᾶς ἐφείσθη θυσίας ἐν τῇ ἐκδόσει αὐτῆς πρὸς ὑπερνίκησιν τῶν παρακολουθουσῶν αὐτὴν ὑλικῶν δυσχερειῶν καὶ πρὸς ὅσον ἔνεστι τελειοτέραν συγκρότησιν αὐτῆς. Καὶ διὰ τὴν φιλότιμον αὐτῆς ταύτην προσπάθειαν πολλὴν εὑρίσκει ἐνίσχυσιν εἰς τὴν συμπαθῆ παρακολούθησιν τοῦ ἔργου αὐτῆς οὐ μόνον ἀπὸ μέρους τῶν συνδρομητῶν καὶ ἀναγνωστῶν αὐτῆς καὶ δὴ ἐκ τῶν περὶ τὰ γράμματα ἐνασχολουμένων, ἀλλὰ καὶ ἀπὸ μέρους Περιοδικῶν ὁμογλώσσων καὶ ξενογλώσσων μετὰ πολλῆς τῆς εὐμενείας κρινόντων τὰ κατ᾽ αὐτήν.

Τοῦ τελειοτέρου πάντοτε στοχαζομένη ἡ «*Ὀρθοδοξία*» θὰ καταβάλῃ καὶ κατὰ τὸ προσεχὲς ἔτος πᾶσαν δυνατὴν προσπάθειαν πρὸς πληρεστέραν ἐπιτυχίαν τοῦ κοινωφελοῦς αὐτῆς σκοποῦ, ἀπεκδεχομένη πρὸς τοῦτο σὺν τῇ θείᾳ ἀρωγῇ καὶ τῇ εὐμενεῖ προστασίᾳ τῆς Σεβαστῆς Δημοκρατικῆς Κυβερνήσεως, τὴν ἠθικὴν καὶ ὑλικὴν ὑποστήριξιν τῶν ἀγαπητῶν αὐτῆς ἀναγνωστῶν, πρὸς οὓς καὶ ἀναγγέλλει ὅτι χάριν τῆς ὁμαλωτέρας αὐτῆς ἐν τῷ μέλλοντι ἐμφανίσεως, τὸ Γ´ ἔτος θὰ εἶναι μὲν καὶ πάλιν ὡς μέχρι τοῦδε δωδεκάτευχον, θὰ περιλάβῃ ὅμως χρονικὸν διάστημα ἐννεάμηνον, λῆγον τῇ 31ῃ προσεχοῦς Δεκεμβρίου, ἴσον δὲ κατὰ τὸ ποσὸν τῆς δημοσιευθησομένης ὕλης πρὸς τὰ προηγούμενα ἔτη.

Η ΔΙΕΥΘΥΝΣΙΣ

ΔΙΔΑΓΜΑ

«Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον».

[Πρὸς Τίτον κεφ. β´ 1-9]

Μιχαηλ Ψελλου

ΛΟΓΟΣ

ΕΠΙ ΤΩι ΕΝ ΒΛΑΧΕΡΝΑΙΣ ΓΕΓΟΝΟΤΙ ΘΑΥΜΑΤΙ

(Συνέχεια ἐκ τοῦ προηγουμένου καὶ τέλος)

12. Ἕλλησι μὲν οὖν κενόσπουδος ἡ πρὸς τὰ οἰκεῖα μαντεῖα καταφυγή, καὶ ἡ τελεστικὴ τούτων παρασκευή, ἀγάλματά τινα πρὸς τὴν ἐκφώνησιν τῶν ἐρωτωμένων καταβακχεύουσα· ἢ γὰρ ἡμιτελὴς ἡ τελετὴ κατ᾽ αὐτοὺς ἐκείνους καὶ ἀτελὲς τὸ χρηστήριον, ἢ τὸ ἐφεστηκὸς πνεῦμα προσυλότερον ὄν, πεπλάνηται πρὸς τὸ μέλλον παραχθήσεσθαι, καὶ ἡ Ἑκατικὴ στροφάλιγξ μετὰ τοῦ ταυρείου ἱμάντος καὶ τῆς ἰυγγικῆς ἐπικλήσεως, ὀνόματα μόνα κενὰ καὶ ἀτέλεστα· εἰ δέ τι καὶ τελοῖτο, ἀλλ᾽ ἐκ χείρονος πνεύματος· εἰ δὲ ἐμφορεῖται τούτοις καὶ τὰ χαριέστερα τῶν ζώων, οἷον περιστεραί τε καὶ φάτται, θείων ἐπιπνοίᾳ καί τι αὐτοῖς κάθηται ὄρνεον, εὐφώνῳ σχήματι καὶ κινήματι τὸ μέλλον προσημαινόμενον, πῶς οὐχὶ τὴν πᾶσαν ἡμῖν ἀλήθειαν ἡ Θεοτόκος προσαγορεύσειε, καὶ μάλιστα εἴ τις αὐτῇ ἀναρτήσει τὰς ἐλπίδας καὶ τὴν τῆς πράξεως ἀναθείη τομήν, ὥσπερ ἐπὶ τῆς ρηθείσης πέπρακται ὑποθέσεως; Τὸ μὲν οὖν τοῦ Σωκράτους ἐρρέτω δαιμόνιον, ἀποτρέπον μὲν τὸν κάτοχον, προτρέπον [9]) δὲ οὔ, ὅτί ποτε τοῦτο εἴη, εἴτε ἠχώ τις κατόπιν βάλλουσα, εἴτε εἴκασμά τι ὁρώμενον· εἴη δ᾽ ἂν κατὰ τὰς ἀρρήτους τῶν ἐξηγήσεων ὁ εἰληχὼς αὐτὸν δαίμων καὶ ὑπερκαθήμενος προσεχῶς, ὃν Πλάτων κυβερνήτην ὀνομάζει τοῦ νοῦ· τὸ δὲ προτρεπτικὸν τῆς Θεομήτορος σύνθημα ἀπλανής ἐστι λόγος καὶ ἀληθὴς καὶ καινόν τινα τρόπον γινόμενος. Χρυσανθίῳ δὲ καὶ Μαξίμῳ ἐνέπαιζεν ἐν Ἑκάτης τὰ ἑλληνικὰ ἀγάλματα ἢ βδελύγματα καὶ σκυθρωπὰ τὰ σημεῖα ἐδείκνυτο· μάτην δὲ καὶ τῶν *(φ. 42α)* φιλοσόφων ὁ τολμηρότερος τὸν ὅρον μεταβιβάζειν τοῦ παντὸς ἐπεχείρει, ἵνα πρᾳοτέροις ἐμπελάσειε σχήμασι· παρ᾽ ἡμῖν δὲ ἀληθεύοι τὰ τῆς Θεομήτορος σύμβολα καὶ οὐδεὶς αὐτὰ μετασχηματίζειν ἐπιβάλοι ἢ ἐπιβαλὼν δυνηθείη ποτέ· ἀλλ᾽ αἰσχυναίμην ἂν εἰ τοῖς ἑλληνικοῖς λήροις ἀντιπαραβαλοίμην τὰ ἡμεδαπά τε καὶ κρείτονα· ἀλλ᾽ ἆρά γε ἡ τοῦ νόμου σκιὰ εἶχέ τινας ἐκφαντικωτέρας ἐπισκιάσεις; λόγιον γὰρ ἐκεῖσε κρίσεως καὶ λίθοι τινὲς δηλώσεις ὀνομαζόμενοι καὶ ἀλήθεια, καὶ ἐπένδυμα ἐπιστήθιον Ἐφοὺδ προσαγορευόμενον κατὰ τὴν Ἑβραΐδα διάλεκτον, ἔνθα ταῦτα τετύπωται· οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ

---

[9]) Ὁ κῶδ. «προτρέπων».

ἱλαστήριον ἔνδον τοῦ ἀδύτου ἐφηρμοσμένον τῇ κιβωτῷ τὰς θειοτέρας ἐδέχετο τῶν ἐμφάσεων καὶ ἐλλάμψεων· ἀλλὰ καὶ ταῦτα ἧττω τῶν τῆς Θεοτόκου ἐμφανειῶν καὶ ἐπισκιάσεων· ἐκεῖνα μὲν γὰρ ἀσαφῆ τὴν δήλωσιν ἔσχε, καὶ τὸ χρῶμα μετεποικίλλετο καὶ τὸ φαινόμενον σύμβολον οὐ πάνυ τι κατάδηλον ἦν· ἐνταῦθα δὲ ἀμετακίνητον τὸ κινούμενον ἐπὶ τὴν ἀλήθειαν· καὶ θεοπρεπὲς μὲν τὸ φαινόμενον, ὑπερφυὲς δὲ τὸ νοούμενον.

13. Καὶ μακρὸν ἂν εἴη καταλέγειν ὅσα τε ἐν τύποις καὶ ὅσα ἐν ταῖς παρ' ἡμῖν ἀληθείαις, καὶ μάλισθ' ὁπόσα ἡ Θεομήτωρ σημαίνοιτο. Οἱ μὲν οὖν περὶ Δαρεῖον τὸν Μῆδον ἵππου χρεμ(μ)ετισμῷ τὴν βασιλείαν ὡρίσαντο, καὶ οἱ περὶ Ρωμύλον μαντευταῖς ὄρνισιν ἐν τῇ τῆς Ρώμης κατασκευῇ· κἀκεῖ μὲν ὁ Δαρείου τοῦ Ὑστάσπου ἵππος χρεμετίζει ἱπποκόμου τέχνῃ τε καὶ σοφίσματι, Ρωμύλῳ δὲ ἐξ ἀριστερῶν γύπες κλαγγηδὸν ὑπερπέτανται· ὅθεν ὁ τοῦ ἄξονος πόλος μετεωρίζεται· ἐν δὲ τῷ ὑφηγημένῳ προβλήματι καὶ ζητήματι οὐκ ὄρνεις πιστεύονται τὴν ἀλήθειαν, οὐδὲ δύσερις [10]) ἵππος τὴν ἡγεμονίαν Περσῶν· ἀλλὰ τῇ τῆς Θεομήτορος ψήφῳ τὸ ἀντίρροπον ἐν τοῖς παρ' ἑκατέρων λόγοις ἐπικρέματαί τε καὶ διαλύεται οὕτω λαμπρῶς, ὡς μηδὲ καταψηφισθέντας ἀναισχυντεῖν ἐστὶ δύνασθαι.

14. Τοῖς μὲν οὖν δαίμοσι τὰ χρησμῳδούμενα ἐξ οὐρανίων σωμάτων [11]) εἶχε τὴν κίνησιν· οὕτω γὰρ αἱ περὶ τῶν φύσεων αὐτῶν ἐξηγηταὶ [12]) *(φ. 42β)* ἐνίσταντό τε καὶ διϊσχυρίζοντο· γύναιον γάρ τι τῶν ἐπιτόκων ἠρωτήκει μὲν τὸν Ἀπόλλωνα ὅ,τι τέκοι, ἄρρενα τόκον, ἢ θῆλυ; ὁ δέ φησι τέξασθαι οὔ τι κοῦρον, ἀλλὰ κόρην· καὶ τὸ ἀστρῷον σχῆμα ἐπήνεγκε· Φοίβη γὰρ εὔσκοπος ἤροσεν ἁγνὴν Κύπριν ἐπειγομένην θῆλυν γόνον· ἀπὸ γὰρ τοῦ σπορίμου τὸ γενησόμενον ἐτεκμήρατο, ὅτι σελήνη ἐπ' Ἀφροδίτην ἐφέρετο. Οὕτως αὖθις ὁ Πύθιος περί τινος τὴν περὶ τὸ πολεμεῖν προθυμίαν διερμηνεύων, ὁπόθεν αὐτῷ γένοιτο, Ἄρεα, φησί, κραιπνὸν ἔχει γενεθλήιον, ὅς μιν ὀρίνει. Καὶ τὰ μὲν δαιμόνια οὕτω τε καὶ ἐκεῖθεν μαντεύεται, καὶ τοῖς ἐρωτῶσι χρᾷ τὰ ἐσόμενα· ἡ δέ γε τοὺς οἴακας τῆς ἡμετέρας ζωῆς ἀναδεξαμένη παρθένος καὶ ἄνωθεν ἡμᾶς κυβερνῶσα, τοῦ μὲν παντὸς ὑπερκαθημένη, πρὸς δ' οὐδὲν τῶν ἁπάντων ἀναβλέπουσα, προαναφωνεῖ τὰ ἐσόμενα, Θεῷ ἀμέσοις προσηρμοσμένη ἑνώσεσιν· ἐκεῖθεν ἕλκει τῶν λεγομένων καὶ τὴν ἀλήθειαν καὶ τὴν δύναμιν· καὶ ταῦτα καὶ ὁ ἡμεδαπὸς βασιλεὺς περὶ τῶν ἱερῶν βιβλίων ἀναλεγόμενος οἶδέ τε σαφῶς καὶ τοῖς οὐκ εἰδόσιν ἑρμηνεὺς καὶ ἐξηγητὴς τῶν ἀπορρητοτέρων καθίσταται. Εἰ δέ τις καὶ παρ' ἡμῶν ἔχοι πρὸς τὴν ὀξεῖαν αὐτοῦ φύσιν ἐμπύρευμά τε καὶ ἐμπόρευμα, ἀλλὰ καὶ οὕτως ἐμοὶ ἂν αὐτὸν τὴν δύναμιν τοῦ λέγειν χαρίζοιτο,

---

10) Ὁ κῶδ. «δύσερως» διορθούμενον ... ις.

11) » » «σχημάτων» » σω....

12) » » «ἐξηγητικοὶ» » ...ται.

ἢ ἐκείνῳ αὐτὸς τὴν τοῦ νοεῖν ὑποθήκην· μᾶλλον γὰρ ὁ θεῖος οὗτος ἀνὴρ ἐξάπτοιτο τοῖς ἡμετέροις πυρσοῖς, ἢ ἐγὼ δυναίμην τοῦτον ὑφάψασθαι.

15. Ἔνθεν τοι καὶ τοῦ γεγονότος θαύματος μονονοὺκ[13]) αὐτόπτης γενόμενος καὶ πολλοὺς ἀνακινήσας περὶ τῶν θειοτέρων λογισμούς, ἐθαύμασέ τε τὸ τελεσθὲν καὶ τοῖς ἀγράφοις λόγοις ἐκόσμησεν. Ἔπειτα δὴ κἀμοὶ τὴν τελεωτέραν ἐπεκδιήγησίν τε καὶ εὐφημίαν παρακελεύεται, ὥσπερ τινι Περικλεῖ τὴν κρείττονα δημηγορίαν προστεταχώς. Ἀλλ' ὁ μέντοι πρότριτα τῆς ἀναγνώσεως τοῦ παρθενικοῦ λόγου τὴν συνθήκην προτρέπεται· ἐγὼ δὲ αὐτίκα σχεδιάσας ἀπήγγειλα· εἰ δὲ ἐκεῖθεν μοι *(φ. 43α)* τὸ ἐπίπνουν, ὅθεν δὴ καὶ τῷ παρθενικῷ πέπλῳ ἡ κίνησις, καὶ τοῦτο τῆς Θεομήτορος, ἵνα δὴ θαύματι θαῦμα προσάπτοιτο, τῷ ἀπὸ τοῦ πέπλου τὸ παρὰ τοῦ λόγου. Ὅτι μὲν οὖν τὸ ζήτημα τῆς πολιτικῆς ὕλης ἐστί, περὶ ἣν νόμοι καὶ δικαστήρια, ὁ δὲ τρόπος τῆς λύσεως καὶ τῆς δικαιώσεως ἕτερος παρὰ τὰ κοινὰ νόμιμα, ὑπερφυὴς μέντοι γε καὶ ὑπαναβεβηκώς· ταῦτα εἰρήκειν εὐθὺς προοιμιαζόμενος· τὸ μὲν γὰρ ἀμφισβητεῖν περί τινος ὑποκειμένου πολιτικῶς, καὶ περὶ δεσποτείας ἢ χρήσεως τοὺς ἀμφιβάλλοντας διαμάχεσθαι τῆς κοινῆς τῶν δικαστηρίων διαίτης ἐστί· τὸ δ' ἀπὸ κρείττονος τομῆς τετμῆσθαι τὸ ζήτημα, καὶ ἣν νόμος οὐκ ἐξεπίσταται, οὐ παρὰ νόμον μέν, ὑπὲρ νόμον δέ. Εἰ δέ τις βούλοιτο τὸν λόγον παραβιάζεσθαι, ἔχει του πάντως καὶ νομικὴν εἰπεῖν τομήν· τὸ γὰρ περὶ δικαστηρίων καὶ δικαιοδοσιῶν αὐτῶν, καὶ περὶ παρέδρων, καὶ αἱρετῶν δικαστῶν νομικὰ ἐπιγράμματα καὶ τὰ ἐπὶ τούτοις κεφάλαια τάδε· «τὸ αἱρετὸν δικαστήριον ἔοικε προσφόρῳ δικαστηρίῳ καὶ ἀνήκει πρὸς τὸ περατοῦσθαι τὰς δίκας»· καὶ αὖθις· «αἱρετὸς δικαστής ἐστιν ὁ δικαστοῦ τάξιν ἀναδεξάμενος»· καὶ πάλιν· «εἴτε δικαία εἴτε ἄδικος ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμένειν αὐτῇ δεῖ»· καὶ τό τε θαυμασιώτερον ὅτι κἂν πλανηθῇ τις ἐν τῷ ψηφίζεθαι δικάζων που πάντως ὡς αἱρετός, οὐ διορθοῦται· ψηφισάμενος γάρ, πέπαυται εἶναι δικαστής. Ἕτερα τῷ περὶ αἱρετῶν δικαστῶν ἐπιγράμματι ὑποπίπτει κεφάλαια· καὶ ὅτι μὲν εἵλοντο οἱ ἀντίθετοι παρὰ τῇ Θεοτόκῳ ὡς αἱρετῷ οἷον συνδικάσασθαι δικαστῇ, δηλοῖ τὰ παρ' ἑκατέρων ἰσότυπα ἔγγραφα· τὸ δέ γε διάφορον πρὸς τὸν νομιζόμενον τῷ νόμῳ αἱρετὸν δικαστὴν ὅτι ὁ μὲν τὸν νομικὸν ἄνδρα ἢ ἰδιώτην καθίστησι κατὰ αἵρεσιν τοῖς κρινομένοις δικάσοντα· τῷ δέ γε στρατηγῷ καὶ τῆς τοῦ Καλλίου μονῆς μοναχοῖς οὐκ εἰς τοιοῦτον ἡ ἀναφορὰ ἐγεγόνει, ἀλλ' εἰς μόνην τὴν Θεομήτορα· κρίσιν δὲ οὐ τὴν ἐκ λογισμῶν καὶ νόμων συννενοήκασιν, οὐδὲ τὴν ἀπὸ γλώττης ψῆφον, ἢ τὴν ἐν γράμμασιν, ἀλλὰ τὴν οὕτως ἢ ἐκείνως ἕξουσαν· συμβολικὴν δὲ ἀκινησίαν ἢ κίνησιν, τομὴν καὶ ἀπόφασιν

---

[13]) μόνον οὐκ.

τοῦ ζητήματος ἐλογίσαντο· καὶ ἔστιν ἀναμὶξ οἷον τὸ δικαστήριον (φ. 43β), τὸ μὲν ἐκ πολιτικοῦ μέρους, τὸ δὲ ἀπὸ κρείττονος.

16. Ἐγὼ δὲ οὕτω διαιτῴην τῷ πράγματι, ὡς εἰ μὲν ἐμπεπαίχασιν οἱ ἀμφισβητοῦντες τοὺς λογισμοὺς καί τινι ἀτόπῳ πράγματι τὴν τομὴν τοῦ ἀμφιβόλου ἐπίστευσαν, πέπλοις ἢ κυβείᾳ ἢ ὀρνίθων πτήσεσιν ἢ κλαγγαῖς ἢ καθέδραις ἢ κινήσεων ἀριθμοῖς ἢ ἄλλῳ τῳ τῶν τοιούτων δράμοις ἢ πάλαις τινῶν, ἢ εἴ τις δισκεύσοι μὲν ὑπὲρ τὰς νεφέλας, ἀναρρίψαιτο δὲ τὸν δίσκον εἰς πεντήκοντα στάδια, ἔσται θάτερον μὲν μέρος νενικηκός, θάτερον δὲ ἡττημένον· εἰ οὕτω καὶ οὗτοι τὴν κοινὴν δίκην συνεπεράναντο καὶ ἦν τοῦτο αἱρετὸν κατὰ βούλησιν, οὐκ ἂν οὐδ' αὐτὸς εἱλόμην τὸ δικαστήριον, οὐδὲ τὴν ἐπὶ τούτοις αἵρεσιν [14]) ταῖς ἐγνωσμέναις περὶ τῶν αἱρετῶν δικαστῶν συνηριθμησάμην βουλήσεσιν. Ἐπεὶ δὲ τὸ μέν τι κρεῖττόν ἐστι τῆς ἐγνωσμένης τοῖς νόμοις αἱρέσεως, τὸ δὲ χεῖρον, τὸ μὲν ὅσον χεῖρον τοῖς παρανόμοις ἀφίημι, τὸ δ' ὅσον κρεῖττον, νομικόν τε καὶ ὡσεὶ νόμον φημί· νομικὸν μὲν ὅτι νενόμισται ἀμφοτέροις τὸ σύνθημα ἐκ παρατηρήσεως νομικῆς· ὑπὲρ νόμον δέ, ὅτι συμπεπέρανται ἐκ καταλήψεως μυστικῆς· οὐ γὰρ ὥσπερ, δικαιοσύνης μεσαζούσης, τὸ μέντοι ἐλλεῖπον, τὸ δὲ πλεονάζον ἐστίν, οἷον μειονεξία τις καὶ πλεονεξία, ἵνα τὰ μὲν ἄκρα κακίζοιτο, ἡ μεσότης δὲ ἐπαινοῖτο· ἀλλ' ὥσπερ τοῦ ὑλικοῦ φωτὸς φωτοειδέστερον τὸ ἀϋλότερον καὶ μᾶλλον αἱρετὸν ἐκεῖνο ἢ τοῦτο, τὸ δὲ σκότος ἀντίθετον, οὕτω τοῦ αἱρετοῦ δικαστοῦ, τὸ μὲν εἰς ἐλάττονα κρίσιν φερόμενον, ὡς ὁ λόγος διεῖλεν, ἀτοπώτατον καὶ παράνομον· τὸ δὲ εἰς κρείττονα φέρον θαυμασιώτατον ἅμα καὶ νομικώτατον· εἰ δὲ χαμαιδικαστὴς αἱρετὸς γενόμενος, ἀδεῶς δικάζοι καὶ κατὰ νόμους, ἢ καὶ παρανόμως πολλάκις, ἡ τὸν ἀντικείμενον τῷ ἑαυτῆς τόπῳ κρίνασά τε καὶ κατακρίνασα ἐνταῦθα ἐλάττων φανείη καινῷ συμβόλῳ καὶ ᾧ συνέθεντο οἱ δικαζόμενοι διαλυσαμένη τὸ ζήτημα πολλοῦ γε καὶ δεῖ· εἰ δὲ τὸ γεγονὸς οὐδ' ἔχει τις ὅπως ἂν γνοίη καὶ θαυμάσαιτο· ἔπειτα οὐδ' εἰς τομὴν τοῦτο δικαστικὴν ἐξαρκέσει· οὔμενουν τί δ' ἄν τις καὶ τολμώη τῶν νῦν ὄντων ἢ τῶν (φ. 44α) ἐσομένων ἐφεκτικὸν ἐπὶ τῶν γεγενημένων συστήσασθαι δικαστήριον, ἢ ὅτι μὴ συνήρμοσται παντάπασι νόμῳ πολιτικῷ, κρεῖττον δὲ τούτου καὶ γενναιότερον ὡς παράνομον διαλῦσαι, ἢ ἐς τὸν Ἄρειον Πάγον ἀφεῖναι τὴν δίκην; Εἰ μὲν οὖν ὑπερφυῶς τις αἱροῖτο τομήν, ἔχει τὸ βεβουλημένον ἐνταῦθα λαμπρῶς· εἰ δὲ τὴν νομικὴν ἀγαπώη ψῆφον, καὶ τοῦτο ἀπὸ νόμου τε ὥρμηται καὶ τὸ παραλλάττον κρεῖττον ἢ νόμος ἐστί· καί τις μὲν ὀμωμοκὼς κατὰ Θεὸν ἀπὸ νόμου προστάττοντος ἢ δικαστοῦ κατακρίναντος, ἔστιν ἐφ' ὧν ὑποθέσεων οὐ τὴν νικῶσαν ψῆφον διὰ τέλους ἐκληρώσατο· «με·

---

[14]) Ἐν τῇ ᾤᾳ: ἤτοι πεττοῖς, τῇ κυβείᾳ καὶ τοῖς λοιποῖς.

γάλης, φησίν, **ὑποκειμένης**, ὁ νόμος, **αἰτίας, καὶ καινῶν εὑρεθέντων δικαιωμάτων, καὶ ὁ ἔνδικος ὅρκος ἀναψηλαφᾶσθαι δύναται**». Καὶ πᾶσα μὲν ἄλλη δικαστικὴ ψῆφος ἐφέσει ὑπόκειται· ἡ δὲ περὶ τῆς Θεομήτορος ἐν συμβόλοις κρίσις, οὕτως ἑλομένων τῶν δικαζομένων, οὔτ' ἐπὶ καινοῖς δικαιώμασιν ἀναλύεται, οὔτ' εἰς ἔφεσιν ἀναπέμπεται. Διατί ; ὅτι οἱ μὲν πολιτικοὶ δικασταί, κἂν εἰς τὸ ἄκρον τῆς νομικῆς ἐπιστήμης ἐλάσαιεν, ἔστιν ὅπη σφάλλονται τὴν διάγνωσιν, καὶ ὁ τὸν ὅρκον διδοὺς αὐθαιρέτου πολλάκις ὁρμῆς καὶ πλεονεξίας ἐλπίδι καταφρονοίη τοῦ κρείττονος· τῇ δὲ Θεομήτορι δικαζούσῃ καὶ τὴν εὕρεσιν τῆς ἀληθείας καινῷ τρόπῳ παραδεικνυούσῃ, τίς ἂν τῶν πάντων ἐπιμέμψαιτο ; ἢ ἄλλός τις κρίνειν τολμήσειεν ; εἰ δὲ μὴ εἰς νόμον τις ἀναγαγεῖν ἔχοι πάντη ἐνταῦθα τὸ πεπραγμένον, καινὸν οὐδέν· ἐπεὶ καὶ τὸν **ἐξ λεγε κονδικτίκιον** οὐκ ἄν τις εἰς ὡρισμένην ἐκβιβάσειεν ἀγωγήν· ἁρμόζει γὰρ οὗτος ἡνίκα ὁ νόμος καινὴν μὲν ἐνοχὴν εἰσάγει καὶ ἀπαίτησιν, μὴ ρητῶς δὲ ἐπάγει διὰ ποίας ἀγωγῆς ἐκβιβάζεται· ἀλλὰ τοῦτο μὲν ἐν παρέργῳ εἴληπται καὶ ἀπὸ τοῦ ἴσου ἐπικεχείρηται· αὐτὸ δὲ τὸ πεπραγμένον καὶ νόμῳ εἴ τις βούλοιτο τελειοῦται, καὶ ὑπὲρ νόμον περαίνεται, καὶ ἀμφοτέρωθεν ἕξει ὁ τῶν δικαίων παρὰ τῆς Πανάγνου τετυχηκὼς ἀνεπιχείρητον τὴν δικαίωσιν.

17. Ἐπεὶ δὲ οὐκ ἐπὶ πασῶν τῶν ἀγωγῶν, τῷ μὲν τῶν ἀντιθέτων τὸ κατηγορεῖν μόνος, τῷ δὲ τὸ ἀπολογεῖσθαι διῄρηται, ἀλλ' ἔστιν οὗ τοῖς *(φ. 44 β)* αὐτοῖς τἀναντία ἐστί, καὶ οἱ αὐτοὶ διώκοντές τε εἰσὶ καὶ φεύγοντες,, ὥσπερ ἐπὶ τῶν λεγομένων διπλῶν δικαστηρίων, ὁποῖον ἐστὶ τὸ μεταξὺ τῶν συγκληρονόμων κινούμενον, εἴτε ἀπὸ διαθήκης, εἴτε ἐξ ἀδιαθέτου, ὃ δὴ καὶ **ἰν ρὲμ** καὶ **περσονάλιον** ἐστί τε καὶ ὀνομάζεται, τοῦτ' ἔστι **πραγματικὸν** καὶ προσωπικὸν καὶ τὰ περὶ ὅρων ἰθυντίων καὶ ὁπόσα ἕτερα· τί γὰρ δεῖ ξύμπαντα καταλέγειν ; εἰ ἐπὶ τῇ πρωτολογίᾳ τῶν ἀγωγῶν ξυνθοῖντο ἀλλήλοις οἱ ἀντικείμενοι, τίς ἄρα πρότερος εἰσέλθοι τὸ δικαστήριον· οὐ γὰρ δύναιντο ἀμφότεροι ἐπίσης κατηγορεῖν· καὶ τοῦτο δὴ τὸ κοινὸν λάχοιεν ἢ ἀπὸ συμβολῆς τινος, ἢ ἀφ' ἑτέρου τρόπου· ἆρ' οὐκ ἂν εἴ τις ἀπὸ τοῦ λαχμοῦ τὸ πρώτως εἰπεῖν πορίσαιτο, οὐκ αὐτὸς πρῶτος κατηγορήσειε, καίτοι γε οὐκ ἀπὸ νόμου τοῦτο διώρισται. Οὐκοῦν ἄτοπον εἰ τυχαῖον μέν τι πρᾶγμα εἰς πρωτολογίαν ἰσχύσειε καὶ ὥσπερ νόμος λογισθείη τὸ διομολογηθὲν ἀμφοτέροις τοῖς μέρεσιν· ἐπὶ δὲ τοῦ παρόντος ζητήματος, θεῖον εἰληφότος τὸ σύνθημα καὶ τὴν ὁμολογίαν ἐπαινετήν, ἄλλό τι ἕξει τὸ συμφωνηθὲν παρὰ τὴν ἀπὸ τῆς τύχης ἔκβασιν· λεγέσθω γὰρ οὕτω(ς) κατὰ τὴν κοινοτέραν φωνήν· καὶ εἰ παρὰ τοῖς φιλοσόφοις μετὰ τῶν αἰτιῶν ἡ τύχη καὶ τὸ αὐτόματον συναριθμούμενα ἄλλην τινὰ ἔχουσι τὴν διαίρεσιν, τὸ γοῦν τῷ λόγῳ σπουδαζόμενον

τοῦτο ἔστιν ὅτι οὔτε ἀτόπως συνωμολογήκασιν οἱ ἀντικρινόμενοι τὸ ἐπὶ τῷ σχήματι τοῦ ἱεροῦ πέπλου τῆς Θεομήτορος λελύσθαι τούτοις τὸ ζήτημα, οὔτε τὸ γινόμενον θαῦμα ἔλαττον δικαστικῆς ἰσχύει γνώμης καὶ ψήφου, ἀλλ' οὐδὲ λόγον ἀντιλογίας οἱ ἡττηθέντες ἔχοιεν. Ἐν γὰρ τῷ μερισμῷ τοῦ συνθήματος οὐκ ἐπίσης τῷ στρατηγῷ τὸ ἐσόμενον διεμερίσαντο σύμβολον, ἀλλ' ἐκείνῳ μὲν τὸ μὴ εἰωθός, ἢ τὸ σπανιώτατον ἀπεκλήρωσαν, ἑαυτοῖς δὲ ἀπέδοσαν, ἵν' οὕτως εἴποιμι, τὸ ἀσύμβολον· τὸ μὲν γὰρ κινεῖσθαι τὸν πέπλον, τοῦ θαύματος· τὸ δὲ μὴ κινεῖσθαι, τῆς φύσεως· ἐπὶ πλέον δὲ ἡ φύσις, (*φ. 45α*) τοῦ τεραστίου· πῶς ἂν οὖν δύναιντο λέγειν, ὅτι μὴ νόμῳ ἡ θεοσημία συμβέβηκε(ν); Ἀλλ' ὑμεῖς γε, φαίη τις ἂν πρὸς αὐτούς, ἐπειδὴ ἡ εὐχὴ γένοιτο καὶ τὸ θαῦμα ἐμέλησεν, ὡς νενικηκότες ἐπὶ τοῖς παροῦσιν ἀποσεμνύνεσθε· πῶς οὖν μήπω μὲν γενομένου τοῦ θαύματος κατακράτος τοῦ πράγματος εἴχεσθε, εἶθ' ὕστερον γενομένου πάλιν ἐπίσης τοῦ αὐτοῦ ἔξεσθε, ἀλλὰ καταδεδίκασθε προφανῶς τῷ τε οἰκείῳ βουλεύματι καὶ ὁμολογήματι, καὶ τῇ ἀπὸ τῆς Παρθένου τομῇ; καὶ τμηθείη ξύμπασα γλῶσσα εἴ τις ἀντίθετος εἴη τῷ θαύματι, καὶ τὴν ὑπερβολὴν τῆς δυνάμεως ὕφεσιν τῆς οἰκείας πιθανολογίας λογίζοιτο, ἵνα μὴ ματαιολογίας ἐρῶ· ἀλλ' ὅτι μὲν εἴ τις ἡμᾶς καὶ κάτω σύρειν αἱροῖτο καὶ ἀπὸ τῶν θειοτέρων εἰς τὰ χείρω βιάζοιτο καὶ περὶ νόμους ἀναγκάζοι στρέφεσθαι, οὐδὲ τούτοις ἥττους τῶν ἀντιλέγειν ἐπιχειρούντων ἐσμέν, ὁ λόγος ἐν οἷς εἰρήκει διῄτησεν.

18. Ἐγὼ δ' αὖθις ἐπὶ τὴν πρώτην τοῦ λόγου τομὴν ἐπάνειμι, καὶ συνείρω θαῦμα τῷ θαύματι καὶ τῶν τῆς Θεοτόκου τεραστίων οὐκ ἂν ἑκὼν εἶναι μεθείμην, οὐδ' ἂν ἐκσταίην ποτέ· ἀλλὰ τίς οὐκ ἂν τῶν ἁπάντων ἀγάσαιτο οὕτω θαυμάτων ἀκούων συνέχειαν καὶ ἐπάλληλα τὰ ὑπερφυῆ σύμβολα; Ἐκράτησε μὲν τοῦ ἀγῶνος ὁ στρατηγὸς καὶ νόμῳ καὶ θαύματι· καὶ ὁ πρωτοπρόεδρος Ἰω[άννη]ς ὁ κατὰ τοὺς Ξηροὺς τὰ πρῶτα τῆς ἐν τῇ πρεσβείᾳ διακονίας παρὰ τοῦ βασιλέως λαβών, ἀποδεδώκει τούτῳ τὰ ἔγγραφα δίκαια, οὕτω προστεταγμένον αὐτῷ παρά τε τῆς παρθενικῆς δυνάμεως καὶ τῆς τοῦ κρατοῦντος ἰσχύος· οὐ μὴν ἀπῆλθεν ἀγνωμονῶν τῇ Παρθένῳ παρ' ἧ τὴν δικαίωσιν εἴληφεν, ἀλλ' αὐτὰ δὴ τὰ δεδομένα ἐν χερσὶ φέρων τῇ Θεομήτορι πρόσεισι, καὶ ἀγχοῦ τῆς εἰκόνος γενόμενος καταρρίπτει εἰς ἔδαφος ἑαυτόν, ποίας οὐκ ἀνθομολογούμενος χάριτος· ἡ δὲ θαυμασίως τῷ πράγματι διαιτήσασα, θαυμασιώτερον αὖθις τὴν ψῆφον ἐπισφραγίζεται· ἡ δὲ σφραγίς, αἴρεται καὶ πάλιν τῆς εἰκόνος τὸ περιβόλαιον καὶ τὸ ἱερὸν ἀνακουφίζεται καταπέτασμα, καὶ οἷον ἐν περιόδῳ καὶ κύκλῳ ἀπὸ τῶν αὐτοῦ ἀποκαταστάντι πρὸς τὸ αὐτὸ τὸ ζητούμενον πρᾶγμα περιλαμβάνεται, ἵνα δυοῖν τεραστίοιν (*φ. 45β*), ὁμοίοιν ἀλλήλοιν, ἀσφαλέστατον ἕξει τὸν σύνδεσμον.

19. Ὁ δὲ λόγος ὥσπερ ἐν διαύλῳ ἄνω καὶ κάτω καινοπρεπέστερον σταδιοδρομῶν καὶ νῦν μὲν περὶ τὰ θεῖα πραγματευόμενος, αὖθις δὲ περὶ τὰς ὑποπιπτούσας ταῖς αἰσθήσεσιν ὕλας, βούλεταί τι καὶ ὑψηλότερον ἐρεῖν καὶ ζητῆσαι [ἥ] τὶς ἡ αἰτία τῶν τοιούτων θεοσημιῶν· καὶ γὰρ ἴχνη πολλὰ[η τις] ἀφανῶν ποδῶν ἢ χειρῶν κατὰ ἐδάφους ἐνήρμοσται· καὶ ζώων εἴδη ἐμφαίνεται ὡς πάλαι που τὰ Βαιτίλια καὶ ἐγκαύματά τινα περὶ λίθους εἰκόνων τε καὶ ἀγαλμάτων οἷον ἱδρῶτες τινὲς ἀπορρέουσι, καὶ κινήσεις ἀφανῆ τὴν αἰτίαν ἔχουσαι περὶ τὰ τοιαῦτα ἐμφαίνονται, ἠχοί [15]) τέ τινες ἐξακούονται, αἵ μὲν ἐξ ἀέρος, αἵ δὲ ἐκ φρεάτων, αἵ δ᾽ ἐξ ἑτέρων πηγῶν, καὶ ἄλλ᾽ ἄττα τοιαῦτα καινότερα ἐμπίπτει περὶ τὴν αἴσθησιν. Τὴν μὲν οὖν ἀληθεστάτην τούτων αἰτίαν, ὁ Θεὸς ἂν εἰδείη, καὶ εἴ τις τῇ θείᾳ φύσει ἐγγύς· ἃ δ᾽ οὖν ἡμεῖς ἐκ τῆς ἀπορρητοτέρας φιλοσοφίας ἐσχήκαμεν, εἰ μετρίως εἰπεῖν ἔχοιμεν, ἀρκούντως ἕξει τοῖς ἀκούουσι· τοῦτο μὲν οὖν πρῶτον διομολογείσθω, ὅτι τῶν ὄντων, τὰ μὲν αὐτὸ δὴ τοῦτο, ὄντα εἰσὶ καὶ θεῖα καὶ ὑπερφυῆ· τὰ δ᾽ ἐλάττω τούτων, καὶ καταβαίνει ἡ ὕφεσις μέχρις αἰσθήσεως καὶ ὕλης αὐτῶν, καὶ δέχεται τὰ τῇδε σώματα ἐμφάσεις τῶν κρειττόνων τινάς· μέτοχα [16]) γὰρ τὰ ἐλάττω τῶν κρειττόνων ἐστί· καὶ τὸ μὲν θεῖον ὅμοιον ἑαυτῷ καὶ ἀπαθέστατον· τὸ δ᾽ ὑπὸ τὴν σελήνην ξύμπαν ἀνόμοιόν τε καὶ παθητὸν καὶ ὅσῳ πρόεισιν ἡ κάθοδος βαθύνει τὸ πάθος· δέχεται δὲ καὶ τὰ χείρω, τὰς ἐλλά[μ]ψεις τῶν ὑπερτέρων, οὐχ ὡς ἐκεῖνα ἔχει, ἀλλ᾽ ὡς ταῦτα δύνανται. Τὸ μὲν οὖν θεῖον ἀκίνητον· ὅταν δὲ ἔλλα[μ]ψις ἐκεῖθεν προχωρείη τῷ σώματι, κεκίνηται τοῦτο· οὐ γὰρ ἀπαθῶς τὴν ἔμφασιν δέχεται μὴ δυνάμενον· καὶ τὸ μὲν ποιοῦν, ἄμορφον· τὸ δὲ πάσχον, μορφὴν ποιὰν καὶ ἀλλοίωσιν δέχεται· καὶ τὰ χρώματα, τῶν ἐσομένων εἰσὶ σύμβολα· τὰ μὲν γὰρ λευκά, τῆς τῶν γενησομένων λαμπρότητος· τὰ δὲ μέλανα, ἀχλύος καὶ ἀοριστίας· τὰ δὲ μεταξὺ τούτων, ὅσα μὲν *(φ. 46α)* πρὸς τῷ μέλανι, χείρω· ὅσα δὲ πρὸς τῷ λευκῷ, κρείττω· τὰ δὲ μέσα, ἀναμίξ· οἷον τὰ φαιά, ἑκατέρωθεν τῶν ἄκρων ἐπίσης μετέχοντα. τὰ δὲ ἐγκαύματα, κίνησίν τινα ἐσομένην σφοδροτέραν ἐνδείκνυνται καὶ χειρίστην μεταβολήν· τὰ δὲ ἴχνη, χειρῶν μέν, ἐπαφῆς κρείττονος φύσεως· ποδῶν δέ, τῆς περὶ τὰ μέλλοντα ὁρμῆς καὶ κινήσεως. Ἀὴρ δὲ καὶ ὕδωρ τὴν ἔμφασιν τοῦ θείου δεξάμενα, ἐπειδὴ μὴ οἷά τε ἀπαθῶς ταύτην εἰσδέξασθαι, ἀπήχησίν τινα τοῖς ἀκούουσιν ἐμποιεῖ· **μέγα δέ** φησι καὶ ὁ ποιητὴς **ἔβραχε φήγινος ἄξων** [17]), οὐχ ὡς τοῦ κρείττονος τὴν ὕλην ἐμπαθῶς ἐπιβρίσαντος, ἀλλ᾽ ὡς τῆς ὕλης ὡς εἶχε δεξαμένης τὴν ἔμφασιν.

---

15) Ὁ κῶδ. ἧχοί τε.
16) Ὁ κῶδ. μετοχοχα.
17) Ἰλιάς, Ε, 838.

20. Καὶ ταῦτα μὲν ἐπιδρομάδην[18]) καὶ ὡς ἂν ῥητορικός τις εἴποι ἀνήρ, γοργὸς κατὰ τὰς χεῖρας τῶν ἀπορουμένων ἀπαντήσεις· περὶ δέ γε θεαγωγίας ψυχῶν, τοσοῦτον ἐνταῦθα ῥητέον, ὡς ἐκ διαφόρων ἡμῶν συγκειμένων δυνάμεων, κρειττόνων καὶ χειρόνων, ὑψηλοτέρων καὶ ταπεινοτέρων, νοῦ λέγω καὶ διανοίας καὶ φαντασίας καὶ τῶν γε ἑτέρων, ὅταν μὲν ἡ ψυχὴ πᾶσα ἐπιπνέηται καὶ ὁ νοῦς πρῶτος τὴν ἔλλα[μ]ψιν ὑποδέξαιτο, ἐν ὀργάνου τάξει τἆλλα κινεῖται, ὑπεσταλμένα τὴν ἑαυτῶν ζωήν· ὅθεν καὶ ἀπαρακολουθήτως ἔχει τότε πρὸς ἑαυτὸν ὁ θεόπτης· εἰ δὲ ἡ διάνοια κινηθείη θεαγωγικῶς, ἢ τὸ πνεῦμα τῆς φαντασίας, ἀναλλοιώτως ὁ νοῦς τούτων ὑπερκαθήμενος, γνοίη ἂν τὰς θείας κινήσεις, καὶ ἑρμηνεύσοι αὐτάς. Καὶ χάρις τῇ Θεομήτορι ἀφορμὰς ἡμῖν παρασχούσῃ διὰ τοῦ θαύματος, δι᾿ ἑρμηνεύσεως κρειττόνων ἐπινοιῶν. Καὶ οἶδα μὲν ὡς Ἀχαιός τις σοφίας ἐν τῷ κατ᾿ ἐμὲ τοῦ χρόνου μέρει γενόμενος, ἀκινήτους καὶ ἀθέλκτους τὰς τῶν πολλῶν ψυχὰς πρὸς τὰ ὑπὲρ φύσιν εἰργάσατο· οὐ μέντοι γε χρεών, τὸν ἐραστὴν τῶν κρειττόνων διὰ τὰς τῶν πολλῶν περὶ τὰ κρείττω ἀκινησίας, συναποδενδροῦσθαι τούτοις ἢ καταλιθοῦσθαι, καὶ οἷον ἀπερριζῶσθαι κατὰ γῆς, καὶ βίον φυτοῦ διαζῆν, ὁπότε καὶ μάλιστα πνευματικώτερον, ἀλλ᾿ οὐκ ἀριστοτελικῶς τὰς διερμηνεύσεις τούτων ποιούμεθα· ὥστε ἐντεῦθεν ἔννοιαν λαμβάνειν ἡμᾶς, τίνες μὲν οἱ περὶ τοὺς προφήτας λόγοι, ὁποῖα δὲ (*φ. 46β*) τὰ λήμματα καὶ τὰ τῶν ψαλμῶν διαψάλματα. Ταῦτα γὰρ ξύμπαντα, κρειττόνων ἔχεται ἐννοιῶν· εἰ δὲ δεῖ καὶ προτείνοντα συλλογίσασθαι, συνηρανισάμεθ᾿ ἂν θεοπρεπέστερα τοῖς ὑποκειμένοις καὶ παντάπασιν ἀναντίρρητα ἀξιώματα περὶ ἕκαστον γένος, οὗ ὁ λόγος τὰ καθ᾿ αὑτὰ πάθη ὁρᾷ.

21. Ὁ μὲν οὖν σχεδιασθεὶς οὗτος λόγος, ὁμοῦ τε εἰς εὐφημίαν ἀρκοίη τοῦ θαύματος, καὶ εἰς βεβαίωσιν τοῦ ἀμφιβόλου πράγματος τῷ τυχόντι τῆς δικαιώσεως· ἐμοὶ δὲ εἰς κοινήν τινα εὐχὴν ὁ λόγος περαίνοιτο· κρίναι μὲν Θεὸς τὰ ἡμέτερα, ὥσπερ δὴ καὶ κρινεῖ τὰς κρίσεις παρὰ τοῦ πατρὸς ἐν τῇ ἀποκαταστάσει λαβών, ἢ ἤδη προσειληφώς· κοινωνοίη δὲ αὐτῷ καὶ ἡ τεκοῦσα τῆς κρίσεως, ἵνα παρὰ φιλανθρώπῳ παιδί, μήτηρ φιλάνθρωπος συνδικάζουσα μὴ παρατηροῖτο ἡμῖν ἐς ἀκριβῆ στάθμην τὰ πεπραγμένα, μὴ δ᾿ οὕτω ζυγοστατοίη, ὡς λογισμῷ λογισμὸν πλήττειν, καὶ πράξει πρᾶξιν εὐθύνειν, ἀλλὰ μετὰ τῆς συμπαθεστέρας ῥοπῆς, λογίζοιτο τὰ ἡμέτερα. Οὕτω γὰρ ἄν, ἢ ξύμπαντες τύχοιμεν, ἀναλόγως οὐ τῶν κατωρθωμένων οἱ πλείους, ἀλλὰ τῆς ἀφέσεως τῶν ἐπταισμένων, τῆς σωτηρίας, ἢ οὐκ ἐν μέσῃ ἐμπεσούμεθα τῇ γεέννῃ, ἀλλὰ πόρρω που τοῦ πυρὸς καθεδούμεθα. Ταῦτα γραφέντα πνευματικῶς ὁμοῦ καὶ πολιτικῶς, ὑπο-

---

18) Ὁ κῶδ. «ἐπιδροχάδην».

γέγραπται καὶ ἐσφράγισται, καὶ τῷ Θεομητρόθεν τῆς δίκης κρατήσαντι στρατηγῷ ἐπιδέδοται, εἰς μῆνα Ἰούλ[ιον] ιγ' ἰνδ[ικτιῶνος], ὁπηνίκα καὶ τὸ συμβὰν θαῦμα τετέλεσται καὶ κεκήρυκται, τοῦ βασιλεύοντος τηνικαῦτα κῦρ Μιχαὴλ τοῦ Δούκα ἐμοὶ τῷ μοναχῷ Μιχαὴλ τῷ ὑπερτίμῳ τὴν γραφὴν ἐπιτρέψαντος, ὑπομνήματος ὁμοῦ νομικοῦ καὶ πανηγυρικοῦ εἴδους λόγον ἔχουσαν, ἔτους ἤδη διαρρέοντος ,ςφπγ'.

Σημειώσεις.

Ἀχαιός τις σοφίας § 20. Πιθανῶς αἰνίττεται τὸν Ἐρετριέα Ἀχαιόν, τὸν συγγράψαντα, ὥς τινες λέγουσι, τεσσαράκοντα τέσσαρα τραγικὰ δράματα.

Βαιτίλια § 19. Βαίτυλος, Βαιθὴλ ἑβραϊστί, σημαίνει οἶκον Θεοῦ, καὶ στήλην ἢ λίθον ἐγειρόμενον εἰς ἀνάμνησιν θείας ἐμφανείας ἢ ἀντιλήψεως (Γένεσις, ιβ', 7-8.—ιγ', 3-4 —κη', 19).

Βάκις § 11. Ὁ Βάκις-ιδος· οὕτως ὠνομάζοντο διάφορα μαντεῖα ἐν Ἑλλάδι, ὧν ἐπισημότερα ἦσαν τὰ ἐν Ἀθήναις, Ἀρκαδίᾳ, Βοιωτίᾳ.

Βλαχερνῶν ναὸς § 3. Τὴν ἀποτέφρωσιν τοῦ περιωνύμου τούτου ναοῦ, συμβᾶσαν τὴν νύκτα τῆς 29ης Ἰανουαρίου τοῦ 1439 ἔτους, ἀπὸ μόνου τοῦ ἱστορικοῦ Γεωργίου Φραντζῆ (χρονικόν, βιβλ. Β, 10, σελ. 158 ἔκδ. Βόννης) γνωρίζομεν· συγχρόνου ῥήτορος ἀνωνύμου θρῆνον ἐπὶ τῇ πυρπολήσει ταύτῃ, ἀνέκδοτον, ἀπεστείλαμεν ἐσχάτως εἰς τὸν κ. Ἰ. Β. Παπαδόπουλον, ἀσχολούμενον εἰς συγγραφὴν εἰδικῆς ἱστορίας τοῦ ναοῦ.

Δισύπατος § 6. Ἐπώνυμον οἰκογενειακὸν ἁπαντῶν καὶ εἰς μεταγενεστέρους αἰῶνας· τῷ 1184 Ἀνδρόνικος ὁ Κομνηνὸς συνέλαβε τὸν ἐκ τῶν ἀναγνωστῶν τῆς Μεγάλης Ἐκκλησίας Γεώργιον Δισύπατον ὡς κακολογήσαντα αὐτὸν καὶ ἔψησεν ἐπ' ἀνθράκων (*Ν. Χωνειάτης*, Ἀνδ. Κομν. Α'. 11.—Σύνοψις Χρονικὴ ἔκδ. *Σάθα*, Μ. Β, τ. Ζ', σ. 347)· τῷ 1235-1278 ; Μ/της Θεσσαλονίκης ἐχρημάτισεν ὁ Μανουὴλ Δισύπατος ὁ καὶ Ὀψαρᾶς, Ψαρᾶς ἐπικαλούμενος (*Γ. Ἀκροπολ.* § 84, ἔκδ. Heisenberg.—*Γ. Παχυμ.* εἰς Μιχ. Α', 11. Β', 8. 17 ἄνευ ἐπωνύμου ὡς καὶ ἐν Δ' 10.—*L. Petit*, les évêques de Thessalonique, ἐν Echos de l'Orient, τόμ. V, 1901-2 σ. 32. – Ὁ Μ/της Πισιδίας Μακάριος ὀνομάζει αὐτὸν Μιχαὴλ ἀντὶ Μανουὴλ ἐν ἐπιστολῇ δημοσιευθείσῃ ὑπὸ *Α. Π. Κεραμέως* (Varia Graeca Sacra, ἐν Πετρουπόλει 1909, σ. 285-291)· ἐν τοῖς προλεγομένοις ὅμως (σ. 38, σημ. 2) ὁ ἐκδότης εἰς ἀπροσεξίαν τοῦ ἀντιγράψαντος τὸν κώδικα τῆς ἁγιορειτικῆς μονῆς τοῦ Διονυσίου, ἐν ᾗ σώζεται, ἀπέδωκε τὴν μεταλλαγὴν τοῦ ὀνόματος. Ἐν δὲ τῷ Βιενναίῳ Νομ. Κώδ. 16 ἡ ἐπιστολὴ τοῦ μοναχοῦ Καλλίστου ἀπευθύνεται «† πρὸς τὸν μητροπολίτην κὺρ Ἐμμανουὴλ τὸν Δισύπατον». Ταύτης ἔχομεν φωτοτυπικὸν ἀντίτυπον. Τῷ 1437 Γεώργιος Δισύπατος σταλεὶς εἰς τὴν Πελοπόννησον εἰς συμφιλίωσιν τῶν ἀδελφῶν Παλαιολόγων (*Γ. Φραντζῆς*, Β, 12, σ. 162).

Ἐφοὺδ § 15. Τί σημαίνει τὸ *Ἐφούδ*, καὶ πόσα τούτου τὰ σημαινόμενα ἐξήγησεν ὁ *Φώτιος* ἐν τῇ ΞΘ' ἐπιστολῇ αὐτοῦ, ἐχούσῃ ὡς ἑξῆς :

«Γαλάτωνι Πρωτοσπαθαρίῳ καὶ Ἀσηκρῆτις.

»Τὸ ***Ἐφούδ***, περὶ οὗ μαθεῖν περιεζήτησας, τρία σημαίνειν, ἐξ ὧν ἀνέγνωμεν, εὕρομεν· ἓν μὲν τὴν ἱερατικὴν καὶ ἁγίαν στολήν, ᾗ κεχρῆσθαι θεμιτὸν οὐκ ἦν, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνον. Ἐδηλοῦτο δὲ δι' αὐτῆς τὸ πρακτέον, ἐφ' ὧν ἀνθρωπίνη κρίσις

τὸ συμφέρον ἰδεῖν ἐξησθένει, οἷον ἐκεχειρίαν θέσθαι πολεμίοις, ἢ τῷ δόρατι τὴν τοῦ πολέμου κρίσιν ἐπιτρέψαι, καὶ εἴ τι ἄλλο παραπλήσιον. Ἀλλὰ πρῶτον μὲν σημαινόμενον τοῦ *Ἐφοὺδ* τοῦτο· ἕτερον δέ, σχήματί πως τῷ εἰρημένῳ παρεοικός, κοινὸν δὲ καὶ οὐχ ἱερατικόν, ὃ φαίνεται καὶ Δαβὶδ ἀμπισχόμενος· ἐπὶ γὰρ Δαβίδ, φησίν, *Ἐφοὺδ* μόνον, ὃ ἔνιοι (βύσσου γὰρ ἐπεποίητο· φυτὸν δὲ ἡ βύσσος) στολὴν ἐκ τῆς ὕλης ὠνόμασαν βυσσίνην· οἱ δέ, τῷ τρόπῳ τῆς χρήσεως τὴν γένεσιν διδόντες τοῦ ὀνόματος, ἐπωμίδα τε καὶ ἐπένδυμα. Παρὰ δὲ ταῦτα ἔστι καὶ τρίτον ἰδεῖν σημαινόμενον· οἱ γὰρ τῶν εἰδώλων θεραπευταί, κατὰ μίμησιν τῶν ἱερέων τοῦ Θεοῦ, τοῖς σφῶν ἱερεῦσι στολὰς ἀφωρισμένας ἐτίθεντο, εἰς σχῆμα τοῦ *Ἐφοὺδ* τὸ ὕφασμα περιγράφοντες· καὶ τὴν κλῆσιν ἐκεῖθεν μεθέλκοντες, *Ἐφοὺδ* καὶ αὐτὸ προσηγόρευον· ἐκέχρηντό τε τῷ μιμήματι, δι' αὐτοῦ τὰ δαιμόνια καὶ αὐτοὶ ἐπερωτῶντες εἰς τὴν τῶν πρακτέων κατάληψιν. Καὶ καινὸν οὐδέν· ὥσπερ γὰρ τὸ *Θεὸς* ὄνομα καὶ τὸν ἀληθῶς ὄντα σημαίνει, ἐφέρετο δὲ καὶ κατὰ τῶν ψευδωνύμων δαιμονίων, οὕτω καὶ τὸ *Ἐφοὺδ* εἰς διάφορα διαιρεῖται σημαινόμενα. Οὐ τὸ Θεὸς δὲ μόνον ὄνομα πρὸς τἀναντία μερίζεται, ἀλλὰ καὶ τὸ *Ὢν* καὶ τὸ *Καδδησίμ*· τούτων γὰρ ἑκάτερον καὶ τὸν κυρίως ὄντα καὶ κυρίως ἅγιον δηλοῖ, καὶ τοῖς λατρευταῖς τῶν δαιμονίων ἐπὶ τιμῇ τῶν οἰκείων σεβασμάτων καθ' ὃν δὴ τρόπον καὶ τὸ *Ἐφοὺδ* μετενήνεκται. Σὺ δέ μοι ψυχῇ καὶ σώματι ἔρρωσο». (***Φωτίου*** πατριάρχου Κ/πόλεως ἐπιστολαί· ἔκδ. Βαλέττα ἐν Λονδίνῳ, 1864, σ. 385).

Μονὴ Καλλίου § 6. Ἐν ἰδιαιτέρᾳ μελέτῃ ἀναγράφομεν τὰ περὶ αὐτῆς ἐπισυνάπτοντες τὸν ἀνέκδοτον, ἂν μὴ ἀπατώμεθα Βίον τοῦ συστησαμένου τὴν μονὴν οἰκουμενικοῦ πατριάρχου Ἀντωνίου Β', συγγραφέντα ὑπὸ τοῦ Νικηφόρου Γρηγορᾶ.

Μάξιμος § 12. Λέγεται ὅτι ἦτο διδάσκαλος τοῦ αὐτοκράτορος Ἰουλιανοῦ τοῦ Παραβάτου, μᾶλλον δὲ σύγχρονος αὐτῷ φιλόσοφος Βυζάντιος, ὡς καὶ ὁ Χρυσάνθιος· σῴζονται ἐπιστολαί τοῦ Ἰουλιανοῦ κοιναὶ πρὸς ἀμφοτέρους καὶ ἰδιαίτεραι πρὸς ἕκαστον αὐτῶν. (Iuliani Imp. epistulae, leges, poematia, fragmenta varia, ed *Bidez* et *Cumont*, Paris, 1922, p. 258—260, epist. 33, 44).

Ξηρὸς § 18. Ἐπώνυμον αἰωνίου βυζαντινῆς οἰκογενείας· μέλη αὐτῆς ἤκμασαν καὶ περὶ τὰ τέλη τοῦ ιγ' αἰῶνος· Μανουὴλ Ξηρὸς τῷ 1225 (*Mikl. & Müller*, A. P. C. LIX. Ξηρὸς Ἰωάννης μητροπολίτης Ναυπάκτου περὶ τὸ 1253 (Γ. Ἀκροπ. § 49 (ἔκδ. Heis σ. 91). Ξηρὸς τομίας (*Γρηγορ. Κύπριος*, ἐπιστ. ρλδ', ἔκδ. Εὐστρατιάδου). Ὁ *Schlumberger*, Sigill. Byz., σ. 715—716, ἐξέδωκε πέντε σφραγῖδας καὶ μολυβδόβουλα διαφόρων Ξηρῶν, τῷ ιβ' καὶ ιγ' αἰῶνι ἀκμασάντων.

Τζιρίθων § 6. Ἐπώνυμον αἰωνοβίου βυζαντινῆς οἰκογενείας ἡ ἀρχαιοτέρα μνεία Τζιρίθωνος, ἢ Τζιρίθου ἀπαντᾷ ἐν ἔτει 911 (*Συμ. Μάγιστρος*, Λέων § μδ.— *Λέων Γραμμ.*, σ. 486 E. R. ἔνθα γράφεται Στηρήδων· *Κεδρηνός*, σ. 606 E. R.—*Γ. Μοναχός*, Λέων, § μβ'.—*Μετὰ Θεοφ.* Λέων § κθ'—λ'). Ἐν ἔτει 1246 Τζιρίθων μέγας χαρτοφύλαξ (*Γ. Ἀκροπολίτης*, § με'). Τοῦ ἐνταῦθα μνημονευομένου Γαβριὴλ Τζιρίθωνος σφραγῖδα ἐξέδωκεν ὁ *Schlumberger* ἔνθ. ἀν. σ. 708, φέρουσαν ὄρθιον τὸν ἅγιον Γεώργιον καὶ ἀφ' ἑτέρου τὴν ἐπιγραφὴν "+Τοῦ Τ.. ρίθωνος Γαβριὴλ κριτοῦ σφραγίς»· τὰ δύο δυσανάγνωστα γράμματα ὑποθέτει ὁ ἐκδότης ογ =Τογρίθωνος, ἐνῷ ἀναγνωστέα ζι= Τζιρίθωνος. Ὀρθῶς δὲ καθώρισε τὸν χρόνον ια' – ιβ' αἰῶνος.

Χρυσάνθιος § 12, σοφιστής, ὡς ἐν λ. Μάξιμος ἐλέχθη, ἔγγαμος, διορισθεὶς ὑπὸ τοῦ Ἰουλιανοῦ διοικητὴς (ἀρχιερεὺς) Λυδίας. *Bidez* et *Cbmont*, ἔνθ. ἀνωτέρω.

Ξ. Α. ΣΙΔΕΡΙΔΗΣ

ΕΡΜΗΝΕΙΑ
ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

[Συνέχεια ἐκ τοῦ προηγουμένου]

Οἱ καρποὶ τῆς δημοσίου ἐνεργείας τοῦ Ἰησοῦ. Ἀπιστία τῶν πολλῶν. Πίστις ὀλίγων οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἀρχόντων τοῦ Ἰουδαϊκοῦ λαοῦ, ἀλλὰ καὶ τούτων ἐν κρυπτῷ. Ἐν τῇ τῶν Ἰουδαίων ἀπιστίᾳ πλήρωσις τῆς βουλῆς τοῦ Θεοῦ, ἐξαγγελθεῖσα ὑπὸ τοῦ προφήτου Ἠσαΐου (στίχ. 37-43).

Στίχ. 37. Περατώσας τὴν διήγησιν τῶν κατὰ τὴν δημοσίαν ἐνέργειαν τοῦ Ἰησοῦ κρίνει καλὸν ὁ ἱ. Εὐαγγ. ὅπως ὑποδείξῃ διὰ βραχέων τὰ ἀποτελέσματα τῆς θαυματουργικῆς ἐπὶ μέρους (τῆς κατ᾽ ἐξοχὴν προσπιπτούσης εἰς τὰ ὄμματα μαρτυρίας ταύτης τῆς θείας ἀποστολῆς τοῦ Ἰησοῦ) ἐνεργείας Αὐτοῦ. Τὰ ἀποτελέσματα ταῦτα—λυπηρὸν λίαν εἰπεῖν — ἦσαν γενικῶς εἰπεῖν ἀρνητικά. Οἱ οὕτως ἢ ἄλλως μάρτυρες γενόμενοι τῶν θαυμασίων ἔργων τοῦ Ἰησοῦ, ὡς εἰκὸς δὲ καὶ τῶν ὑπερφυῶν λόγων Αὐτοῦ, δὲν ἐπείθοντο εἰς τὴν θείαν ἀποστολὴν Αὐτοῦ, ἠρνήθησαν καὶ ἐξηκολούθουν ἀρνούμενοι ν' ἀποδεχθῶσιν Αὐτόν, οἷον τὰ ἔργα ἐμαρτύρουν Αὐτόν, καὶ οἷος ἐν λόγοις ἠξίου ὅτι εἶνε, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἀληθὴς Μεσσίας, ὁ Σωτὴρ τοῦ κόσμου. Δὲν ἐπίστευον εἰς Αὐτόν. **Τοσαῦτα.** Ὁ ἱ. Εὐαγγ. αὐτὸς μνημονεύει ὀλίγων, ἀλλὰ πρβλ. Ζ′ 31. ΙΑ′ 47. Ὅθεν καὶ ὁ ἱ. Χρυσ. ὅσα παρέλιπεν ὁ ἱ. Εὐαγγελιστής.

Στ. 38. Ἡ ἐξήγησις καὶ δικαιολογία τοῦ ἀληθῶς ἀπιστεύτου καὶ καταπληκτικοῦ γεγονότος τῆς καθόλου ἀπιστίας τοῦ Ἰουδαϊκοῦ λαοῦ (στ. 37). Ἡ τοσαύτη πώρωσις, βαρυκοΐα καὶ τύφλωσις τῶν Ἰουδαίων οὐδένα — παρίσταται λέγων ὁ ἱ. Εὐαγγ.—ὤφειλε νὰ καταπλήττῃ, πολλῷ δὲ ὀλιγώτερον νὰ κρίνηται ὡς στρεφομένη κατὰ τοῦ Ἰησοῦ, ὡς τοῦ μὴ ἀληθοῦς δῆθεν Μεσσίου, ἅτε ἀπορριφθέντος ὑπὸ τοῦ λαοῦ Αὐτοῦ. Ἡ ἀπιστία τοῦ Ἰουδαϊκοῦ λαοῦ ἦτο σύμφωνος πρὸς τὴν βουλήν, τὴν πρόγνωσιν καὶ πρόρρησιν τοῦ Θεοῦ, διὰ τοῦ Προφήτου Ἠσαΐου ἐξαγγελθεῖσαν. Ἔδει ἄρα ἀναγκαίως νὰ λάβῃ χώραν, οὐ μόνον μὴ διασαλεύουσα τὸ ἀληθὲς καὶ γνήσιον τοῦ Μεσσιακοῦ τοῦ Ἰησοῦ ἀξιώματος, καὶ τὴν θείαν ἀποστολὴν Αὐτοῦ, ἀλλὰ τοὐναντίον ἐπὶ μᾶλλον πιστουμένη καὶ βεβαιοῦσα αὐτήν. Εἰς τὴν ἐκ προσώπου Αὐτοῦ (πρβλ. στ. 41) διὰ τοῦ στόματος τοῦ Προφήτου

γινομένην πρὸς τὸν Θεὸν ἐρώτησιν (**Κύριε τίς ἐπίστευσε** κλπ.) τοῦ Μεσσίου ἐξυπακούεται ἀρνητικὴ ἀπάντησις. Οὐδείς (ἤτοι σχεδὸν οὐδείς). Ἡ παρατιθεμένη ὑπὸ τοῦ ἱ. Εὐαγγ. ρῆσις τοῦ Ἡσαΐου (ΝΓ΄ 1), ἀναφερομένη ἱστορικῶς εἰς τοὺς συγχρόνους τοῦ Προφήτου καὶ καταγγέλλουσα τὴν ἐπιδειχθεῖσαν ἀπιστίαν τῶν Ἰουδαίων εἰς τοὺς ἀπὸ μέρους τοῦ Θεοῦ (**τῇ ἀκοῇ ἡμῶν**, ἐμοῦ δηλ. τοῦ Προφ. καὶ τῶν ὁμοίων μου) λόγους αὐτοῦ, καὶ εἰς τὴν διακηρυσσομένην ὑπ᾿ αὐτοῦ δύναμιν τοῦ Θεοῦ (**ὁ βραχίων Κυρίου,** πρβλ. Λουκ. Α΄ 51. Πραξ. ΙΓ΄ 17 κλπ.) κατὰ τὴν Μεσσιακὴν αὐτῆς ἐκδοχήν,—τὴν καὶ κυρίαν καὶ οὐσιώδη, ἣν καὶ διὰ τοῦτο μόνην λαμβάνει ὑπ᾿ ὄψει ὁ ἱ. Εὐαγγ.—πληροῦται ἐν τῷ προσώπῳ τοῦ Χριστοῦ, Ὅστις εἶνε ὁ πράγματι καὶ ἀληθῶς διὰ τοῦ στόματος τοῦ Προφ. ἐξενεγκὼν αὐτήν, καὶ δὴ (κατ᾿ ἀνάγκην) ἐν σχέσει πρὸς τοὺς συγχρόνους Αὐτῷ Ἰουδαίους, πρὸ τῶν ὁποίων ἐκήρυξεν Οὗτος καὶ ἐθαυματούργησεν. Ἄρα ὑπὸ τὸ **ἀκοὴ ἡμῶν** νοεῖται τὸ κήρυγμα τοῦ Ἰησοῦ, λαλοῦντος ὅσα ἤκουσε παρὰ τοῦ Πατρός (πρβλ. Ζ΄ 16. 17. Η΄ 38. 40), μετ᾿ Αὐτὸν δὲ ὡς εἰκὸς καὶ τὸ τῶν Ἀποστόλων, ὑπὸ δὲ τὸ **ὁ βραχίων Κυρίου** ἡ ἐν Αὐτῷ, ἐν τοῖς ἔργοις Αὐτοῦ ἀποκαλυπτομένη δύναμις τοῦ Θεοῦ. (Πρβλ. Ε΄ 17 21). «Ὡς ἐκ προσώπου τοῦ Χριστοῦ εἶπε τοῦτο ὁ προφ., λέγοντος δηλ. τοῦ Χριστοῦ πρὸς τὸν Πατέρα **Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν,** ἀντὶ τοῦ οὐδεὶς ἐπίστευσε τῷ λόγῳ ἡμῶν, καὶ τῷ κηρύγματί μου· ὅπερ κήρυγμα ἀκοὴν ὠνόμασε. Καὶ γὰρ ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, φησίν, ἐκεῖνα λέγω. **Καὶ ὁ βραχίων δὲ τίνι ἀπεκαλύφθη;** τ. ἔ. ἡ δυνατὴ τῶν σημείων ἐνέργεια, ἣν βραχίονα ὀνομάζει, οὐδενὶ ἀπεκαλύφθη τῶν ἀγνωμόνων Ἰουδαίων· ἀλλὰ καὶ τοιαῦτα σημεῖα ποιοῦντά με συκοφαντοῦσι» (Θεοφ.).

Στ. 39. Τῆς προρρήσεως τοῦ Ἡσ. (περὶ τῆς ἀπιστίας τῶν Ἰουδαίων πρὸς τὸν Ἰησοῦν, στ. 38), ἅτε ἐκφραζούσης βουλὴν καὶ λόγον τοῦ Θεοῦ, ὀφειλούσης νὰ τύχῃ ἀναγκαίως τῆς πληρώσεως αὐτῆς, οἱ Ἰουδαῖοι—δηλοῖ νῦν ρητῶς καὶ σαφῶς ὁ ἱ. Εὐαγγ.—δὲν ἠδύναντο νὰ πράξωσι διαφόρως (νὰ πιστεύσωσι), τοσούτῳ μᾶλλον, ὅσῳ (καθ᾿ ἃ περαιτέρω χωρεῖ λέγων ὁ ἱ. Εὐαγγ.) κατ᾿ ἄλλην προφητείαν τοῦ Ἡσ. κατέστησαν οὗτοι ὑπὸ τοῦ Θεοῦ Αὐτοῦ ἀνίκανοι καὶ ἀνεπιτήδειοι πρὸς τοῦτο (πρὸς τὸ πιστεῦσαι). Κατὰ ταῦτα τὸ **τοῦτο (διὰ τοῦτο)** ἀναφέρεται εἰς τὰ προηγούμενα (στ. 38), ἐπεξηγεῖται δὲ καὶ διασαφηνίζεται διὰ τῆς ἐπιφερομένης αἰτιολογικῆς προτάσεως **ὅτι πάλιν εἶπεν Ἡσαΐας.** Κατ᾿ ἄλλην ἐκδοχὴν λαμβάνεται (τὸ **τοῦτο, διὰ τοῦτο)** ὡς προεξαγγελτικὸν τοῦ **ὅτι πάλιν** κτλ. Διὰ τοῦτο δὲν ἠδύναντο νὰ πιστεύσωσι διότι εἶπεν Ἡσ. κλπ.

Στ. 40. Ἡ παρατιθεμένη ρῆσις εἶνε ἐκ τοῦ Ἡσ. ΣΤ΄ 9. 10, παραλαμβανομένη ἐλευθέρως μετὰ ἀποκλίσεων ἀπό τε τοῦ πρωτοτύπου καὶ ἀπὸ

τῶν Ο΄. Ἐν τῷ πρωτοτύπῳ ἀντὶ τοῦ παρὰ τοῖς Ο΄ «ἐπαχύνθη ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν κλπ.» κεῖται προστακτική:. «Πάχυνον τὴν καρδίαν τοῦ λαοῦ τούτου, καὶ βάρυνον τὰ ὦτα αὐτοῦ, καὶ κλεῖσον τοὺς ὀφθαλμοὺς αὐτοῦ κλπ.», ἄλλαις λέξ. λαμβάνει ἐντολὴν παρὰ τοῦ Θεοῦ ὁ Προφ., ὅπως διὰ τοῦ λόγου καὶ τοῦ κηρύγματος αὐτοῦ ἐπενέγκῃ τὸ περιγραφόμενον ἀποτέλεσμα, τὴν ἀπιστίαν τῶν συγχρόνων αὐτοῦ Ἰουδαίων. Ἑρμηνεύων τὴν ῥῆσιν Μεσσιακῶς, ἔχων δ' ὑπ' ὄψει πιθανώτατα καὶ τοὺς Ο΄ γράφοντας **ἐπαχύνθη, βαρέως ἤκουσαν** κλπ., ἀορίστους δηλ., μεταχειρίζεται καὶ ὁ ἱ. Εὐαγγ. παρῳχημένους χρόνους **τετύφλωκε, πεπώρωκε** κλπ., δι' ὧν δηλοῦται συντετελεσμένον ἐπὶ τῶν ἡμερῶν τοῦ Ἰησοῦ γεγονός, ἡ πώρωσις τῶν Ἰουδαίων καὶ ἡ εἰς Αὐτὸν ἀπιστία αὐτῶν. Ὡς ὑποκείμενον τοῦ **τετύφλωκε** καὶ **πεπώρωκε** κατὰ τὴν ἔννοιαν τῆς προφητικῆς ῥήσεως καὶ τῶν συμφραζομένων νοεῖται ὁ Θεός. Ὡς ὑποκείμενον δὲ τοῦ **ἰάσομαι** ὁ Μεσσίας, ὁ Χριστός, ὃς καὶ ἐν τῇ ῥήσει ταύτῃ ἐξυπακούεται ἀντὶ τοῦ Προφήτου, ἅτε καὶ τῆς προφητικῆς ταύτης ῥήσεως κατὰ τὴν Μεσσιακὴν αὐτῆς ἐκδοχὴν ἀναφερομένης εἰς τὸν Χριστόν, καὶ τὴν εἰς Αὐτὸν ἀπιστίαν τῶν συγχρόνων Αὐτῷ Ἰουδαίων. **Πεπώρωκεν.** Ἐσκλήρυνε, κατέστησε δυσαίσθητον. **Ἰάσομαι.** Μεταφορικῶς ἐπὶ τῆς ἰατρείας τῆς ψυχῆς. Ἡ περὶ ἧς ὁ λόγος ἐνταῦθα πώρωσις, ἐπακολούθημα ἔχουσα τὴν ἀπιστίαν, καὶ ὡς ἔργον τοῦ Θεοῦ παριστамένη, ὀφείλεται κατ' ἀρχὴν εἰς αὐτοὺς τοὺς ἀνθρώπους, ἀπροθύμους καὶ δυσπειθεῖς τὸ πρῶτον δεικνυμένους, ὅθεν δὴ καὶ ἐφελκομένους τὴν ὀργὴν τοῦ Θεοῦ καὶ τὴν ὑπ' Αὐτοῦ ὡς ποινὴν πλέον ἐπιβαλλομένην πώρωσιν, περὶ ἧς τὸν λόγον ποιεῖται ὁ ἱ. Εὐαγγ. (Πρβλ. καὶ Μτθ. ΙΓ΄ 13 κ. ἑ. ὡς καὶ τὴν ἡμετέραν ἑρμην. εἰς τὰς Παραβολάς, σ. 7 κ. ἑξ.). Ἡ ἄποψις τῶν ἀρχαίων ἐξηγητῶν, οἷς ἕπονται καὶ τῶν νεωτέρων τινές, διαφέρει πως. Οὕτως ὁ ἱ. Χρυσ. σημειοῦται : «Ἰδοὺ πάλιν τὸ **ὅτι** καὶ **εἶπεν** οὐχὶ αἰτιολογίας ἀλλ' ἐκβάσεως. Οὐδὲ γὰρ ἐπειδὴ εἶπεν Ἡσ. οὐκ ἐπίστευον, ἀλλ' ἐπειδὴ οὐκ ἔμελλον πιστεύειν, διὰ τοῦτο εἶπεν Ἡσ. . Εἰ γὰρ μὴ πάντως ἔμελλεν ἔσεσθαι, οὐκ ἂν προεῖπε· πάντως γὰρ ἔμελλεν ἔσεσθαι, ἐπειδὴ ἀνιάτως εἶχον ἐκεῖνοι. Εἰ δὲ κεῖται τὸ **οὐκ ἠδύναντο** ἀντὶ τοῦ οὐκ ἤθελον κεῖται. . . ! ὃ λέγει ὁ Εὐαγγελ. τοῦτό φησιν, ὅτι ἀδύνατον ἦν ψεύσασθαι τὸν Προφ. Οὐ μὴν διὰ τοῦτο ἀδύνατον ἦν αὐτοὺς πιστεῦσαι. Ἐνῆν γὰρ καὶ πιστευσάντων αὐτῶν ἀψευδῆ μένειν. Οὐ γὰρ ἂν ταῦτα προεῖπεν, εἰ πιστεύειν ἔμελλον. Τί οὖν φησὶν οὐχ οὕτως εἶπεν ; Ὅτι ἰδιώματά τινα ἡ Γραφὴ τοιαῦτα ἔχει, καὶ δεῖ τοῖς νόμοις αὐτῆς παραχωρεῖν. . . καὶ ἐπὶ τοῦ Φαραὼ τὴν καρδίαν σκληρῦναι λέγεται, οὕτω καὶ ἐπὶ τῶν φιλονεικούντων τι τοῖς τοῦ Θεοῦ λόγοις γίνεται. Ἰδίωμα δὲ καὶ τοῦτο τῆς Γραφῆς ὡς καὶ τὸ **παρέδωκεν εἰς ἀδόκιμον νοῦν** καὶ τὸ **ἀπέ-**

νειμε τοῖς Ἔθνεσι τ. ἔ. συνεχώρησεν, ἀφῆκεν. Οὐχὶ γὰρ ἐνεργοῦντα Αὐτὸν ἐνταῦθα εἰσάγει, ἀλλ᾽ ἐκ τῆς τῶν ἑτέρων πονηρίας ταῦτα γινόμενα δείκνυσι... δεικνὺς ἡμᾶς ἀρχομένους τῆς ἐγκαταλείψεως καὶ αἰτίους γινομένους τῆς ἀπωλείας». Πρβλ. καὶ Θεοφ. σημειούμενον πρὸς ἄλλοις «Ὅταν ἀκούσῃς, ὅτι τυφλοῖ ὁ Θεός, οὕτω νόει, ὅτι τῷ μὴ παρεῖναι τυφλοῖ· οὐ πάρεστι δὲ διὰ τὴν κακίαν» (Ὁμ. Ζιγ).

Στ. 41. Ὁ λόγος δι᾽ ὃν τὰ λόγια τοῦ Προφ. (**Κύριε τίς ἐπίστευσε** κλπ. καὶ **τετύφλωκε** κλπ.) ἐκφέρονται ὑπὸ τοῦ ἱ. Εὐαγγ. ὡς ἀπὸ μέρους τοῦ Χριστοῦ καὶ ὑπ᾽ Αὐτοῦ προφερόμενα. Ταῦτα ἐξήνεγκεν ὁ Προφ. **ὅτε εἶδε** (κατὰ τὴν γραφὴν τῶν ἀρχτρ. κωδ. **ὅτε εἶδε**=διότι εἶδε) τὴν δόξαν αὐτοῦ, τ. ἔ., κατὰ τὰ συμφραζόμενα (στ. 37 κ. ἑξ.), τοῦ Χριστοῦ. Ὁ Ἡσ. κατὰ τὸ ΣΤ′ 1 κ. ἑ. εἶδε τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν μεταξὺ Θεοῦ Πατρὸς καὶ Υἱοῦ προαιώνιον σχέσιν (πρβλ. Α′ 1 κ. ἑ.) εἶδεν οὗτος ταὐτοχρόνως καὶ τὴν τοῦ Υἱοῦ δόξαν, ὅθεν καὶ ἐλάλησεν ἐν ὀνόματι Αὐτοῦ (**Κύριε, τίς ἐπίστευσε** κλπ... καὶ **ἰάσομαι** κλπ.) καὶ περὶ Αὐτοῦ. «**Ταῦτα εἶπεν Ἡσ. ὅτε εἶδε τὴν δόξαν αὐτοῦ.** Τίνος; Τοῦ Υἱοῦ. Καίτοι τοῦ Πατρὸς τὴν δόξαν δοκεῖ ἰδεῖν, ὅσον ἀπὸ τῆς ἀκολουθίας, ὁ Προφήτης. Ἐνταῦθα δὲ ὁ ἱ. Εὐαγγ. δόξαν τὴν τοῦ Υἱοῦ φησιν ἰδεῖν τὸν Ἡσ., ὁ δὲ Παῦλος τοῦ Πνεύματος. Μία ἄρα ἡ δόξα τῆς Ἁγ. Τριάδος... Δόξαν δὲ λέγει ἰδεῖν τὸν καπνὸν ἐκεῖνον, ὃν ἐφαντάσθη (=εἶδε), τὰ Σεραφείμ, τοὺς ἄνθρακας, τὸ θυσιαστήριον, τὸν θρόνον» (Θεοφ. πρβλ. Χρυσ. καὶ Ζιγ.). Κατ᾽ ἄλλην ἐκδοχὴν ἰδὼν τὴν δόξαν τοῦ Πατρὸς ὁ Προφ. εἶδε κατὰ τὸν ἱ. Εὐαγγ. τὴν τοῦ Υἱοῦ, καὶ ἐλάλησεν ὡς ἀπ᾽ Αὐτοῦ, διότι κατ᾽ αὐτὸν καὶ αἱ ἀποκαλύψεις τῆς Π. Δ. ἐγίνοντο διὰ τοῦ Υἱοῦ (Α′ 4).

Στ. 42. Ὁ ἱ. Εὐαγγ. κρίνει ἀναγκαῖον, ὅπως ἐπισυνάψῃ τὴν παρατήρησιν, ὅτι παρὰ πᾶσαν τὴν καθόλου εἰπεῖν ἀπιστίαν τοῦ Ἰουδαϊκοῦ λαοῦ πρὸς τὸν Ἰησοῦν (ἀπιστίαν ἄλλως τε καὶ προρρηθεῖσαν, καὶ εἰς τὴν ἰδίαν αὐτοῦ κακίαν ὀφειλομένην, οὐδὲν δ᾽ ἄρα κατὰ τῆς ἀληθείας τοῦ Ἰησοῦ μαρτυροῦσαν) δὲν ἐνέλειπον καὶ οἱ πιστεύοντες, οὐ μόνον ἐκ τοῦ λαοῦ (πρβλ. καὶ Β′ 23), ἀλλὰ καὶ ἐκ τῶν ἀρχόντων αὐτῶν, ἐκ τῆς τάξεως τῶν ἡγετῶν, ἐκ τῶν μελῶν τοῦ Μ. Συνεδρίου (Ζ′ 48). Ἀλλ᾽ ἡ πίστις τῶν τοιούτων, ἐπιπροστίθησιν ὁ ἱ. Εὐαγγ., δὲν ἐξεδηλώθη (ὅθεν καὶ παρέμεινεν ἄκαρπος), διότι συνεῖχεν αὐτοὺς ὁ ἀπὸ τῶν κατ᾽ ἐξοχὴν πολεμίων τοῦ Ἰησοῦ φόβος, τῶν Φαρισσαίων, οἵτινες μανθάνοντες θὰ προεκάλουν τὴν εἰς τὸ ἀνάθεμα ὑπαγωγὴν αὐτῶν (πρβλ. Θ′ 22). Δείγματα τῶν ἐν λόγῳ ἐν κρυπτῷ ὀπαδῶν τοῦ Ἰησοῦ παρέχει αὐτὸς ὁ ἱ. Εὐαγγ. τὸν Νικόδημον (Γ′ 1 κ. ἑ. Ζ′ 50) καὶ Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθαίας (ΙΘ′ 38).

Στ. 43. Ὁ ἱ. Εὐαγγ. καθάπτεται δικαίως τῶν περὶ ὧν ὁ λόγος ὀπαδῶν τοῦ Ἰησοῦ, δηλῶν οὕτω τὸν πραγματικὸν καὶ κύριον λόγον τῆς ἐπι-

φυλακτικότητος αὐτῶν. Ἦτο δ' οὗτος ὁ φόβος αὐτῶν ὅπως μὴ ἐκτιθέμενοι εἰς τὸ ὄνειδος τοῦ ἀναθέματος ἀποστερηθῶσι τῆς τιμῆς καὶ δόξης τῶν ὁμοφύλων αὐτῶν, ἀποδεικνύοντες διὰ τῆς διαγωγῆς αὐτῶν, ὅτι περὶ πλείονος ἐποιοῦντο τὴν δόξαν ταύτην ἢ τὴν σωτηριώδη τιμὴν καὶ δόξαν, ἣν θὰ προσεπόριζεν αὐτοῖς ἀπὸ τοῦ Θεοῦ ἡ εὐθαρσὴς εἰς τὸν Υἱὸν Αὐτοῦ πίστις αὐτῶν καὶ ἡ πεπαρρησιασμένη ὁμολογία τοῦ ὀνόματος Αὐτοῦ (πρβλ. Ε' 44).

Ὁ θεῖος χαρακτὴρ τοῦ Ἰησοῦ καὶ ἡ σημασία τῆς ἀποστολῆς καὶ τοῦ κηρύγματος Αὐτοῦ (στ. 44-50).

Ἡ ὁμιλία αὕτη τοῦ Ἰησοῦ, ἧς οὔτε ὁ τόπος, οὔτε ὁ χρόνος ὁρίζεται ὑπὸ τοῦ ἱ. Εὐαγγ., ἐγένετο, πιθανῶς βραχὺ μετὰ τὴν διὰ τοῦ 36 στ. περατωθεῖσαν, ἐν τῷ Ἱερῷ πρὸ πολυπληθοῦς ἀκροατηρίου, ὡς ἐξάγεται ἐκ τοῦ **ἔκραξε.** Κατά τινας τῶν ἐξηγητῶν, ἀποτελεῖ μάλιστα συνέχειαν ἐκείνης (ὅθεν καὶ ἐξηγεῖται τὸ **ἔκραξεν** ἐν τῇ σημ. ὑπερσυντ.=εἶχε κράξη), ἢ κατ' ἄλλους, ἀρχὴν τῆς περαιτέρω πρὸς τοὺς ἰδίους μαθητὰς καὶ Ἀποστόλους. Κατὰ τοὺς μᾶλλον φιλελευθέρους τῶν ἐξηγ. τοῦ πρὸς τὸν λαὸν κηρύγματος τοῦ Ἰησοῦ περατωθέντος διὰ τῶν τοῦ 36 στ. (πρβλ. τὸ **ἐκρύβη ἀπ' αὐτῶν**) εἰρημένων, ἡ ἐνταῦθα ὁμιλία Αὐτοῦ ἀπορρέει ἐκ προηγουμένων λόγων Αὐτοῦ περὶ Ἑαυτοῦ καὶ τοῦ κηρύγματος Αὐτοῦ καὶ ἀποτελεῖ ἴδια μάλιστα πορίσματα τοῦ ἱ. Εὐαγγ. ἐξ αὐτοῦ (τοῦ κηρύγματος τοῦ Ἰησοῦ), παρατίθεται δὲ ἐνταῦθα ὑπὸ τοῦ ἱ. Εὐαγγ. πρὸς ἀντιπαράθεσιν καὶ ἀντιδιαστολὴν τῆς πρὸς Αὐτὸν ἀπιστίας (στ. 37 κ. ἑ.) τῶν Ἰουδαίων, οὐδαμῶς δικαιολογουμένης ἀπό γε τοῦ Ἰησοῦ οὐ μόνον ἀπὸ τῶν ἔργων, ἀλλ' οὐδὲ ἀπὸ τῶν λόγων καὶ τῆς διδασκαλίας Αὐτοῦ, διατόρως καὶ δημοσίᾳ κηρύξαντος ὅ,τι ὤφειλε νὰ κηρύττῃ περὶ Ἑαυτοῦ, ὅπως πιστευθῇ. Κατὰ τὴν γνώμην ταύτην ἡ ὁμιλία αὕτη ἔχει καὶ τὸν χαρακτῆρα διαρκοῦς περὶ τοῦ Ἰησοῦ κηρύγματος πρὸ παντὸς τοῦ κόσμου, ἀποτελοῦσα καὶ προειδοποίησιν πρὸς τοὺς ἀπιστοῦντας.

Στ. 44. Ρητὴ καὶ κατηγορηματικὴ δήλωσις τοῦ Ἰησοῦ περὶ τῆς ἀνάγκης τῆς εἰς Αὐτὸν πίστεως, ὅπως ἡ εἰς τὸν Θεὸν πίστις ᾖ ἀληθὴς καὶ τελεία. Ἡ εἰς Αὐτὸν (ἐμφανισθέντα ἐπὶ τῆς γῆς καὶ κηρυχθέντα εἰς τὸν κόσμον) πίστις εἶνε ταὐτοχρόνως πίστις πρὸς τὸν Θεὸν Πατέρα, καὶ ἄνευ αὐτῆς ἡ πρὸς Ἐκεῖνον πίστις ἀληθῶς εἰπεῖν δὲν ὑφίσταται. Ὁ ἀρνούμενος τὸν Υἱὸν ἀρνεῖται καὶ τὸν Πατέρα (πρβλ. Ε' 23. Ι' 30. 38, ΙΔ' Ι.). «Εἰς τὸν Θεὸν ἡ πίστις διαβαίνει δι' ἐμοῦ, ὥσπερ οὖν καὶ ἡ ἀπιστία. Ὅρα πῶς διὰ πάντων τὸ ἀπαράλλακτον δείκνυσι τῆς οὐσίας... Δείκνυσιν οὖν, ὅτι **οὐκ** ἔστι πιστεῦσαι τῷ Πατρί, μὴ πιστεύσαντα εἰς Αὐτόν». (Χρυσ. Ὁμ. Θεοφ. καὶ Ζιγ.).

Στ. 45. 'Εν τῷ προσώπῳ τοῦ Υἱοῦ (τοῦ 'Ιησοῦ) ἔχομεν τὴν πλήρη καὶ τελείαν ἀποκάλυψιν τοῦ Πατρός, διὸ δὴ καὶ ἡ εἰς Αὐτὸν πίστις διαβαίνει πρὸς τὸν Πατέρα (στ. 44), καὶ δὲν δύναται νὰ νοηθῇ ἡ μὲν ἄνευ τῆς δέ. (Πρβλ. Α΄ 18. ΣΤ΄ 40. Ζ΄ 16. Η΄ 19. 42. ΙΔ΄ 9.) «Τί οὖν σῶμά ἐστιν ὁ Θεός; Οὐδαμῶς. Θεωρίαν δὲ τὴν τοῦ νοῦ φησιν ἐνταῦθα, καὶ ἐντεῦθεν τὸ ὁμοούσιον δηλῶν» (Χρυσ.). Οὕτω διὰ πλειόνων σαφέστερον ὁ Θεοφ. «Θεωρίαν τὴν κατὰ νοῦν ἐνταῦθά μοι νόει· ὥσπερ ἂν εἰ οὕτως ἔλεγεν· Ὁ τὴν ἐμὴν οὐσίαν ὡς δυνατὸν ἀνθρώπῳ καταλαβὼν διὰ τῆς θεωρίας τοῦ νοῦ, καὶ τὴν τοῦ Πατρὸς κατείληφεν. Ὁ ἐμὲ γνούς, ὅτι Θεός, καὶ τὸν Πατέρα πάντως· εἰκὼν γάρ εἰμι τοῦ Πατρός. Διὰ πάντων δὲ τούτων τὸ ὁμοούσιον δηλοῦται τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ». Εἰς ταῦτα ὁ Ζιγ. προστίθησι: «Θεωρεῖ δέ τις τὴν τοῦ Χριστοῦ Θεότητα, οὐκ ἀπὸ τῆς φύσεως αὐτῆς· ἀθεώρητος γὰρ ἡ θεία φύσις καὶ παντελῶς ἀνεννόητος, ἀλλ' ἀπὸ τῶν θεοπρεπῶν ἔργων καὶ λόγων Αὐτοῦ».

Στ. 46. Ὁ σκοπὸς τῆς εἰς τὸν κόσμον ἀποστολῆς τοῦ 'Ιησοῦ. Οὗτος ἐνεφανίσθη εἰς τὴν γῆν μεταξὺ τῶν ἀνθρώπων ὡς τὸ σωτηριῶδες φῶς τῆς θρησκευτικῆς καὶ ἠθικῆς ἀληθείας, ὅπως διὰ τῆς εἰς Αὐτὸν πίστεως ὡς τοιοῦτον, καὶ τῆς κατακολουθήσεως Αὐτοῦ ἀπαλλαγῶσιν οἱ ἄνθρωποι τοῦ σκότους τῆς θρησκευτικῆς πλάνης καὶ ἀπομακρύνσεως ἀπὸ τοῦ Θεοῦ, ἐν ᾗ διετέλουν. (Πρβλ. Α΄ 4. 5. 9. Η΄ 12. Θ΄ 5. ΙΒ΄ 35. 36.). «Φῶς δὲ Ἑαυτὸν ἐκάλεσε διὰ τὸ τῆς πλάνης ἀπαλλάττειν, καὶ τὸ νοητὸν λύειν σκότος» (Χρυσ). «Ὥσπερ τὸ φῶς φανέν, καὶ ἑαυτὸν δῆλον ποιεῖ καὶ τὰ λοιπὰ ὁρατά· οὕτω καὶ ὁ Υἱὸς ἐλθὼν καὶ φανεὶς ἡμῖν, Ἑαυτὸν ἐγνώρισε καὶ τὸν Πατέρα, καὶ πρὸς πᾶσαν γνῶσιν τῆς καρδίας τῶν παραδεξαμένων Αὐτόν, ἐφώτισεν». (Θεοφ). «'Εν τῇ σκοτίᾳ μὴ μείνῃ. Τῇ τῆς πλάνης τῇ τῆς ἁμαρτίας» (Ζιγ).

Στ. 47. Ἡ πρὸς τοὺς μὴ ἀποδεχομένους τὸν ἀπ' Αὐτοῦ φωτισμὸν καὶ ἐμμένοντας ἐν τῷ σκότει τῆς πλάνης καὶ τῆς ἁμαρτίας στάσις καὶ σχέσις τοῦ 'Ιησοῦ. Προσεδόκα τις συμφώνως ἰδίᾳ πρὸς τὰς περὶ Μεσσίου ἰδέας τῶν 'Ιουδαίων (πρβλ. καὶ Ματθ. Γ΄ 10. 12) ἄμεσον κρίσιν καὶ κατάκρισιν τῶν ἀπειθούντων εἰς τὸ σωτηριῶδες κήρυγμα Αὐτοῦ. 'Αλλ' ὁ πρῶτος καὶ κύριος, ὁ ἄμεσος σκοπὸς τῆς ἐλεύσεως τοῦ 'Ιησοῦ εἰς τὸν κόσμον, δὲν ἦτο ποσῶς ἡ κρίσις. Ἦτο ἡ σωτηρία τῶν ἀνθρώπων. Αὕτη ἦτο τὸ πρῶτον καὶ κύριον μέλημα, ἀποκλειομένου παντὸς ἄλλου ἄχρι τῆς διεξαγωγῆς καὶ ἐπιτυχίας αὐτοῦ. (Πρβλ. Γ΄ 17. Η΄ 15 κ. ἑ. Θ΄ 39). «Ἵνα μὴ νομίσωσιν, ὅτι δι' ἀσθένειαν τοὺς καταφρονοῦντας παρέδραμε, διὰ τοῦτο εἶπε **οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον»**. (Χρυσ.) **Καὶ μὴ πιστεύσῃ.** Κατὰ τὴν γραφὴν τῶν ἀρχαιοτέρων κωδ. **καὶ μὴ φυλάξῃ,** ὅπερ ἑρμηνεύεται ἐπίσης ἐν τῇ σημ. τοῦ **μὴ πιστεύσῃ,** ἐν τῇ σημ. δηλ. τῆς

μὴ ἐπιπολαίου ἀκροάσεως εἰς τρόπον ὥστε διὰ τῆς διατηρήσεως ἐν τῇ ψυχῇ τῶν λεγομένων νὰ παραχθῇ ἡ πίστις.

Στ. 48. Τὸ ἀναγκαῖον ἐπακολούθημα τῆς ἀπορρίψεως τοῦ Ἰησοῦ, τῆς ἀποκρούσεως τῆς εἰς Αὐτὸν πίστεως **(ὁ ἀθετῶν ἐμὲ),** ἐκδηλουμένης καὶ ἀφορμὴν καὶ αἰτίαν ἐχούσης τὴν μὴ ἐγκάρδιον ἀποδοχὴν καὶ ἐμπιστοσύνην εἰς τοὺς λόγους Αὐτοῦ. Τὸ ἐπακολούθημα τοῦτο εἶνε ἡ κρίσις καὶ κατάκρισις, ἥτις παρίσταται διεξαγομένη ὑπὸ τοῦ λόγου τοῦ Ἰησοῦ, θὰ συντελεσθῇ δὲ **ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ,** κατὰ τὴν κοινὴν τ. ἔ. κρίσιν καὶ ἀνταπόδοσιν. Ὁ λόγος τοῦ Ἰησοῦ, ὁ περὶ Αὐτοῦ μαρτυρῶν, καθ' ὅσον ἠκούσθη ἢ ἀπεκρούσθη θὰ ἐλέγξῃ καὶ θὰ προκαλέσῃ οὕτω τὴν κατάκρισιν (πρβλ. ἀνάλογον Ζ΄ 51.). Κατ' ἄλλην ἐκδοχὴν ὁ Ἰησοῦς ὡς φορεὺς τοῦ λόγου Αὐτοῦ (πρβλ. Ε΄ 45. Η΄ 50). «Τὰ ρήματα ἃ ἐλάλησα νῦν ἐν τάξει στήσεται κατηγόρου, ἐλέγχοντα καὶ πᾶσαν διακόπτοντα ἀπολογίαν» (Χρυσ.).

Στ. 49. Αἰτία, δι' ἣν τηλικαύτην σημασίαν καὶ δύναμιν (στ. 48) ἔχει ὁ λόγος τοῦ Ἰησοῦ. Ἡ αἰτία αὕτη εἶνε, ὅτι ὁ λόγος Αὐτοῦ δὲν ἀπορρέει ἀπ' Αὐτοῦ **(ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα),** ἀλλ' ἔχει ἄμεσον πηγὴν καὶ αἰτίαν αὐτὸν τὸν Θεὸν καὶ Πατέρα, τὸν ἀποστείλαντα Αὐτὸν εἰς τὸν κόσμον καὶ ἐντειλάμενον Αὐτῷ τό τε περιεχόμενον **(τί εἴπω)** καὶ τὸν τρόπον αὐτὸν **(τί λαλήσω)** τοῦ δημοσίου κηρύγματος Αὐτοῦ. Ἄλλαις λέξεσιν, ὁ λόγος τοῦ Ἰησοῦ εἶνε αὐτὸς ὁ λόγος τοῦ Θεοῦ, δι' ὃ δὴ καὶ ἡ τὴν αἰωνίαν κατάκρισιν συνεπαγομένη ἀπόρριψις αὐτοῦ (πρβλ. Γ΄ 11. Ε΄ 30. Ζ΄ 16. 17. Η΄ 26. 28. 38. Ι΄ 18). «Βαβαὶ τῆς ταπεινότητος τῶν ρημάτων!... Καὶ τί βούλεται σημᾶναι διὰ τούτων; Τὸ μηδὲν ἕτερον ἢ λέγειν ἢ φρονεῖν παρὰ τὸν Πατέρα δηλ. Ὥσπερ γὰρ φησὶν οἱ ἐντολεῖς οὐδὲν ἐκτὸς τοῦ ἐντεταλμένου λέγουσιν, οὕτω δὴ καὶ ἐγὼ αὐτὸς οὐδὲν ἕτερον φρονῶ ἢ ἐδίδαξα παρὰ τὰ τῷ Πατρὶ δόξαντα» (Θεοφ. πρβλ. Χρυσ.).

Στ. 50. Ὁ σωτηριώδης χαρακτὴρ τῶν λόγων καὶ τοῦ κηρύγματος τοῦ Ἰησοῦ οὗ ἕνεκα ἀκριβῶς καὶ ἡ εἰς τὴν ἀπόρριψιν αὐτοῦ ἀναγκαίως ἐπακολουθοῦσα καταδίκη (στ. 48). Ὁ Ἰησοῦς διαβεβαιοῦται τοὺς ἀκροατὰς Αὐτοῦ,—ἐν ἀμέσῳ πλήρει καὶ τελείᾳ γνώσει διατελῶν **(οἶδα)**—ὅτι ἡ ἐντολὴ τοῦ Πατρός, οἱ λόγοι τ. ἔ. Αὐτοῦ (τοῦ Ἰησοῦ, πρβλ. στ. 49), οἱ τὴν εἰς Αὐτὸν ὡς τὸν Σωτῆρα πίστιν διενεργοῦντες, εἶνε **ζωὴ αἰώνιος,** εἶνε δηλ. μεσῖται καὶ πάροχοι ζωῆς αἰωνίου, ἣν ἀντλεῖ ὁ πιστεύων ἐκ τῆς μετὰ τοῦ Σωτῆρος ἐσωτερικῆς κοινωνίας καὶ ζωῆς ἐν Αὐτῷ (πρβλ. Ε΄ 24. ΣΤ΄ 63. 68). Συνῳδὰ τῷ τοιούτῳ χαρακτῆρι τῶν λόγων Αὐτοῦ, λόγων Αὐτοῦ τοῦ Θεοῦ Πατρός, καὶ συμφώνως πρὸς τὴν σωτηριώδη σημασίαν αὐτῶν καὶ δύναμιν, ὁ Ἰησοῦς δὲν παρεκκλίνει ποσῶς αὐτῶν καὶ

τοῦτο κρίνει ἀναγκαῖον νὰ τονίσῃ πρὸς τοὺς ἀκροατὰς Αὐτοῦ. **Ἃ οὖν λαλῶ** κλπ. «Ὥστε ἐπεὶ οὐδὲν ἀπ' ἐμοῦ εἶπον, ποίαν πρόφασιν προβαλοῦνται οἱ ἀπειθήσαντες ; Ἀναμφιλέκτως γὰρ κατακριθήσονται, ὡς τῷ Πατρὶ ἀπειθήσαντες» (Θεοφ.).

[*Ἕπεται συνέχεια*]

Η ΝΕΑ ΑΝΑΘΕΩΡΗΣΙΣ ΤΟΥ ΑΓΓΛΙΚΟΥ ΕΥΧΟΛΟΓΙΟΥ

(Συνέχεια ἐκ τοῦ προηγουμένου)

